2) Forte respicit Galeni verba: *ἀλλὰ καὶ τοὺς μὲν οὕτω*

νόμενον καὶ τῶν λουτρῶν ἐξάπτεται μᾶλλον· ἐπὶ τούτων τὰ οὖρα ἄπεπτα καὶ λευκὰ, ὁ σφυγμὸς μικρὸς, τὸ σῶμα ξυλῶδες καὶ κατάξηρον ὡς βύρσα· ἡ δὲ θεραπεία· λούειν καὶ βάπτειν ψυχρῷ ὕδατι· ἔςι δ᾽ ὅτε καὶ πίνειν ψυχρὸν παρέχομεν ὕδωρ εἰ μή τι μόριον ἀσθενὲς ὑπόκειται· εἰ πάνυ ἰσχνὸν τὸ σῶμα καὶ γάλα παρέχομεν γυναικεῖον, ἢ ὄνειον, ὡς [1] ἐν τῷ ἑβδόμῳ λόγῳ τῆς θεραπευτικῆς Γαληνὸς διατάττεται.

Κεφ. ιζ'.

Περὶ μαρασμοῦ τοῦ ἁπλῶς λεγομένου.

Καὶ οὗτος ἑκτικός ἐςιν ἐπιτεταμένος καὶ πολλὴν ἔχων τὴν θερμότητα καὶ ἰσχνότητα, ὡς μηδὲ δεῖσθαι ἄλλων σημείων, [2] ὥς φησι Γαληνὸς, καὶ παιδίῳ γνώριμός ἐςιν· ἡ δὲ θεραπεία ἡ αὐτή.

Κεφ. ιη'.

Περὶ περιφρυγοῦς μαρασμοῦ.

Καὶ οὗτος ἑκτικός ἐςιν, ἐπιτεταμένος, χαλεπὸς καὶ ἀνίατος· διὸ οὐδὲ δεῖ λέγειν τι περὶ αὐτοῦ, ὀςέα γὰρ καὶ δέρμα μόνον ἔχουσιν οἱ τοιοῦτοι.

διακειμένους καὶ πρὶν ἅψασθαι τῶν σφυγμῶν ἔνεςί σοι διαγινώσκειν ἐκ μόνου τοῦ προσώπου. Synopsis lib. de pulsibus cap. 27.

Cap. XIX.

De senio ex morbo.

Senium ex morbo vocat Philippus, ut auctor ubique monet, quando hectica quis laborans, aut febri ardente, propter multum aestum aquam frigidam copiose bibit, et febrim quidem exstinguit sed corpus totum simul refrigerat, ita ut in posterum senilem adspectum habeat, etiamsi paucorum sit annorum.

Hae quidem febres in solidis partibus: iam vero videamus de illis, quae in spiritibus, quas ephemeras vocant.

Cap. XX.

De ephemera.

Ephemera levis est febris unum diem persistens: fit autem ex iracundia, tristitia, vel curis, vel defatigatione, vel solis ardore similibusque: quo fit ut et urinae et pulsus in his secundum naturam sint, ita ut fere credas morbum non adesse. Curatio vero haec: post accessionem vel etiam in ipsa accessione aegrum in balneum demittere et unguere et lotum alere, dein ad solitum vivendi genus demittere.

Cap. XXI.

De ephemera multos dies persistente.

Interdum ephemera non unum tantum diem per-

---

1) Cf. Gal. *de febr. diff.* I. 8. *de causis puls.* IV. 10. *Meth. Med.* VII. 6. *de marcore* cap. 5.

2) Lacuna etiam in MS. notatur: scriptum fuerit forsitan:

Κεφ. ιθ'.

Περὶ τοῦ ἐκ νόσου γήρως.

Ἐκ νόσου γῆρας ὀνομάζει Φίλιππος, [1] ὥς φησιν ὁ συγγραφεὺς πανταχοῦ, ὅταν ἔχων τις ἑκτικὸν ἢ καῦσον διὰ τὴν πολλὴν ζέσιν προσενέγκηται ὕδωρ ψυχρὸν πολὺ, καὶ σβέσῃ μὲν τὸν πυρετὸν, καταψύξῃ δὲ τὸ ὅλον σῶμα, ὡς λοιπὸν γεροντικὴν ἕξιν ἔχειν κἂν ὀλίγων ἐτῶν ὑπάρχῃ.

Οὗτοι μὲν οἱ ἐπὶ στερεῶν σωμάτων [2] . . . . ἐπὶ πνεύμασι τῶν λεγομένων ἐφημέρων.

Κεφ. κ'.

Περὶ ἐφημέρου.

Ὁ ἐφήμερος εὐτελής ἐςι πυρετὸς μίαν ἡμέραν κρατῶν· γίνεται δὲ ἐπὶ θυμοῖς καὶ λύπαις, ἢ φροντίσιν, ἢ κόποις, ἢ ἡλιοκαΐαις καὶ τοῖς τοιούτοις· ὅθεν καὶ τὰ οὖρα ἐπὶ αὐτῶν κατὰ φύσιν ἐστὶ καὶ ὁ σφυγμὸς, ὡς νομίζειν σχεδὸν μηδὲν νοσεῖν. Ἡ δὲ θεραπεία· μετὰ τὸν παροξυσμὸν ἢ καὶ ἐν αὐτῷ τῷ παροξυσμῷ ἐπὶ λουτρὸν φέρειν τὸν κάμνοντα καὶ ἀλείφειν καὶ λούσαντα τρέφειν, εἶτα ἐπὶ τὰ συνήθη ἀπολύειν.

Κεφ. κα'.

Περὶ ἐφημέρου πολυημέρου.

Ἔστιν ὅτε ἐφήμερος οὐ μίαν ἡμέραν κρατεῖ, ἀλλὰ καὶ

οὗτοι μὲν οἱ ἐπὶ ςερεῶν τοῦ σώματος πυρετοὶ, νῦν δὲ εἴπωμεν περὶ τῶν ἐπὶ πνεύμασι, τῶν λεγομένων ἐφημέρων.

sistit, sed vel tres aut quatuor, diciturque polyhemera: eadem vero et causa et curatio.

Et haec quidem de febribus omnibus, in quibus finis est libri primi.

INITIUM LIBRI SECUNDI.

Superest, ut iam morbos in partibus singulis contingentes exponamus: incipiam autem a capite, quum supremum locum occupet et praecipuum.

Cap. I.

De capitis dolore.

Cephalalgia dolor est in capite obortus: multas vero diversitates habet peculiares: nam vel gravitatem sentiunt aegrotantes, quo in casu totum corpus deplendum est, sive lanceola, cephalicam quam vocant et humeralem venam aperientes, sive purgante medicamine, exhibentes hieram Logadii, ceterum postea pituita evacuanda ope sapae et aceti et staphidis, agriae similiumque; ita quidem agendum quum gravitatem sentiunt. Sin autem e tensione oritur a flatibus, ventriculus roborandus hiera Galeni, quam picram vocant et dialoës. Quodsi morsum sentiunt capitis dolore laborantes et veluti calorem, bili quidem purgandus est aeger et continuo lavandus et rosaceo

---

1) Huius Hierae Logadii mentionem facit Theoph. Nonnus Capp. X. et XXXVI. — Ad hunc locum Bern. ad-

τρεῖς, ἢ καὶ τέσσαρας καὶ λέγεται πολυήμερος· τὰ δὲ αἴτια τὰ αὐτὰ καὶ ἡ θεραπεία.

Καὶ ταῦτα μὲν περὶ πάντων τῶν πυρετῶν, ἐν οἷς τὸ τέλος τοῦ πρώτου λόγου.

ἈΡΧΗ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΛΟΓΟΥ.

Τὰ δὲ καθ᾽ ἕκαςον μόριον συμβαίνοντα πάθη κατάλοιπον ὑφηγήσασθαι· ἄρξομαι δὲ ἐκ τῆς κεφαλῆς, ἐπειδὴ τὴν ἀνωτέρω θέσιν ἀπείληφε καὶ τιμίαν.

Κεφ. α΄.

Περὶ κεφαλαλγίας.

Κεφαλαλγία ἐςὶν ὀδύνη γινομένη κατὰ τὴν κεφαλήν· πολλὰς δὲ τὰς κατὰ μέρος ἔχει διαφοράς· ἢ γὰρ βάρους αἰσθάνονται οἱ κάμνοντες καὶ δεῖ κενῶσαι μὲν τὸ ὅλον σῶμα, ἢ φλεβοτόμῳ, τέμνοντας τὴν κεφαλικὴν καὶ ὠμιαίαν λεγομένην φλέβα, ἢ καθαρσίῳ παρέχοντας τὴν [1] ἱερὰν Λογαδίου. εἶτα λοιπὸν ἀποφλεγματισμοῖς χρῆσθαι δι᾽ ἑψήματος καὶ ὄξους καὶ ἀγριοςαφίδος καὶ τῶν τοιούτων. Οὕτως μὲν ἐὰν βάρους αἰσθάνωνται. εἰ δὲ διατάσεως ὑπὸ πνευμάτων, τὴν γαςέρα δεῖ τονῶσαι παρέχοντα τὴν ἱερὰν Γαληνοῦ, ἥντινα πικρὰν καὶ δι᾽ ἀλωῆς ὀνομάζουσιν. Εἰ δὲ δήξεως αἰσθάνονται οἱ κεφαλαλγοῦντες καὶ οἷον θερμότητος, δεῖ καθαίρειν μὲν τὴν χολὴν, λούειν δὲ συνεχῶς καὶ ἀλείφειν ῥοδίνῳ, ἢ καὶ

---

notat Aëtii cap. III. 112, ubi ipsa formula traditur.

unguento illinendus vel omphacio abluto. — Sin vero frigus sentiunt et torporem oleo anethi calido similibusque inunguendi sunt.

Cap. II.

De Cephalaea.

Cephalaea, ut ait Galenus in tertio libro Diagnostices, diuturna et doloris plena capitis affectio est, ut plurimum a cerebri membranarum inflammatione orta. Illa enim laborantibus caput subinde veluti malleo percuti videtur, interdum autem quasi lapide percussum frangi, interdum veluti pulsantem dolorem sentiunt, dolentque oculorum radices ita ut ne vocem quidem audire sustineant, neque lucem intueri, sed in tenebris degere eos oporteat, ab illis enim rebus malum ingravescit. His igitur ita habentibus ad angiologiam et arteriotomiam confugiendum est, quin etiam cutis totius capitis incidenda, vel cauterium ad verticem adhibendum, infusionesque adstringentes et dolorem sedantes administrandae, veluti cum Althaea, et myrtho, et rosis et chamomillis: pedesque vinciendi, et in aquam tepidam immittendi: omninoque a vino abstinendum, et ab iis quae caput replere valent: morbus autem gravis est et curatu difficilis.

---

1) Tertium lib. *de locis affectis* ita vocat. Initio enim libri primi Galenus: *ὁπόσον*, inquit, *μὲν οὖν τι τὸ πρὸς τὰς ἰάσεις ἐςὶ χρήσιμον ἐκ τῆς τοιαύτης γνώσεως ἐν τῇ*

ὀμφακίνῳ πεπλυμένῳ. Εἰ δὲ ψύξεως καὶ νάρκης αἰσθάνοιντο, ἀνηθελαίῳ θερμῷ καὶ τοῖς τοιούτοις ὑπαλιπτέον.

Κεφ. β΄.

Περὶ κεφαλαίας.

Κεφαλαία ἐςὶν, ὥς φησι Γαληνὸς [1] ἐν τῷ τρίτῳ τῆς διαγνωςικῆς, χρονία καὶ ὀδυνηρὰ διάθεσις τῆς κεφαλῆς γινομένη ὡς ἐπίπαν ἐπὶ φλεγμονῇ τῶν μηνίγγων. δοκοῦσι γὰρ οἱ τοιοῦτοι, ὥς φησιν ὁ συγγραφεὺς, ποτὲ μὲν οἷον ὡς ὑπὸ σφύρας τύπτεσθαι τὴν κεφαλὴν, ποτὲ δὲ θλᾶσθαι οἷον ὡς ὑπὸ λίθου, ποτὲ δὲ οἷον σφυγματωδῶς ὀδυνᾶσθαι καὶ τὰς ῥίζας τῶν ὀφθαλμῶν ἀλγεῖν, ὅθεν οὐδὲ φωνῆς ἀκούειν ἀνέχονται, οὐδὲ φῶς ὁρᾷν, ἀλλ' ἐν σκότει διάγειν· παροξύνονται γὰρ ὑπὸ τῶν τοιούτων. δεῖ οὖν ἐπὶ τῶν τοιούτων ἀγγειολογίαν καὶ ἀρτηριοτομίαν παραλαμβάνειν, ἢ καὶ [2] περισκυφισμὸν ὅλης τῆς κεφαλῆς, ἢ καὶ καυτῆρα κατὰ τοῦ βρέγματος, ἐπαντλήματα δὲ ςυπτικὰ καὶ παρηγορικὰ, οἷον δι' ἀλθείας, καὶ μυρσίνης, καὶ ῥόδων καὶ χαμαιμήλων, καὶ δεσμεῖν τοὺς πόδας καὶ εἰς χλιαρὸν ὕδωρ βρέχειν, καὶ ἀπέχεσθαι οἴνου σχεδὸν παντελῶς καὶ τῶν πληροῦν δυναμένων τὴν κεφαλήν. ἔστι δὲ χαλεπὸν καὶ δυσίατον τὸ πάθος.

τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ δηλοῦται· νυνὶ δὲ μόνον ὅπως ἄν τις διαγινώσκοι τὰ πάσχοντα μόρια πρόκειται σκοπεῖσθαι. — Itaque vid. *de locis aff.* III. 13.

Cap. III.

De Hemicrania.

Hemicraniaca affectio dicitur, quum dimidia tantum pars capitis dolet, sive dextra, sive sinistra. Morbus autem diuturnus et gravis: eadem autem curatione pellitur, quam in cephalaea commendavimus.

Cap. IV.

De vertigine.

Obfuscationis, *σκότωμα* vocant Graeci, morbus adest, quum vertigine subito prehenduntur atque obfuscantur oculi continuo et domus illis in orbem circumferri videtur, quemadmodum ebriis, sicuti in tertio Diagnostices libro traditum est, Graecis quoque *σκοτοδινίασις* morbus audit. Fit autem a spiritibus in gyrum in capite circumeuntibus: hisque aegrotantibus a flatu libera alimenta exhibere oportet et ventriculum roborare picra Galeni et caput irrigare, ut facilius spiritus dissipentur, et a vino, et ira, et acri quolibet abstinendum est.

Cap. V.

De Apoplexia.

Apoplexia, sicuti dictum in tertio Diagnostices libro, adest quum subito quis cadens sensu et motu privatur ex obturatione ventriculorum cerebri: malum

Κεφ. γ΄.

Περὶ ἡμικρανίας.

Ἡμικρανιακὸν πάθος λέγεται, ὅταν τὸ ἥμισυ μέρος τῆς κεφαλῆς ἀλγῶσι μόνον, τὸ δεξιὸν ἢ τὸ ἀριϛερόν. χρόνιον δὲ τὸ πάθος καὶ χαλεπόν· τῇ δὲ αὐτῇ ὑπάγεται ἐπιμελείᾳ, τῇ εἰρημένῃ ἐπὶ τῆς κεφαλαίας.

Κεφ. δ΄.

Περὶ σκοτωματικῶν.

Σκοτωματικὸν πάθος ἐστὶν, ὅταν ἰλιγγιῶσιν ἐξαίφνης καὶ σκοτῶνται συνεχῶς, [καὶ δοκῶ]σι τὸν οἶκον κυκλικῶς ϛρέφεσθαι, ὥσπερ οἱ μεθύοντες, ὡς εἴρηται [1] ἐν τῷ τρίτῳ τῆς διαγνωϛικῆς· λέγεται δὲ καὶ σκοτοδινίασις τὸ πάθος· γίνεται δὲ ὑπὸ πνευμάτων ϛροφουμένων κυκλικῶς ἐν τῇ κεφαλῇ· καὶ δεῖ τὰ ἄφυσα ἐδέσματα τοῖς τοιούτοις παρέχειν καὶ τονοῦν τὴν γαϛέρα πικρᾷ Γαληνοῦ καὶ ξᾶναι τὴν κεφαλὴν, ὅπως ῥαδίως διαφορῆται· καὶ ἀπέχεσθαι οἴνου καὶ θυμοῦ καὶ παντὸς δριμέος.

Κεφ. ε΄.

Περὶ ἀποπληξίας.

Ἀποπληξία ἐϛὶν, ὡς ἐν τῷ τρίτῳ τῆς διαγνωϛικῆς εἴρηται, ὅταν ἐξαίφνης τις πεσὼν ἀναίσθητος καὶ ἀκίνητος κινῆται ἐπὶ ἐμφράξει τῶν κοιλιῶν τοῦ ἐγκεφάλου·

---

1) Cap. 12. III. *de locis aff.*

insanabile, auctore Hippocrate in Aphorismis: « Apoplexiam gravem ut solvas fieri nequit, levem neque facile.''

Cap. VI.

De epilepsia.

Epilepsia, uti monitum in libro tertio Diagnostices, adest, si quis subito cadens vellitur et ori spuma oboritur, quod plebs Daemona vocat et Lunaticum morbum. Fit autem rursum ex obstructione ventriculorum cerebri et pueris potius contingit, atque insanabilis est, nisi morbum curet provectior aetas, ut ait Hippocrates initio Epidemiorum libri sexti: utendum vero calido victu.

Cap. VII.

De caro.

Carus autem, sicuti monitum in tertio libro Diagnostices, similis est apoplexiae: differt autem eo, quod apoplexia in posteriori cerebri ventriculo potius obstructionem habet: sopor vero in anteriori: verum a lethargo differt eo, quod febris in caro praecedit et vehementior est, in lethargo contra sequitur. Fit quoque carus ab ictu in capite et osse fracto, ita ut cerebrum premat: curatio vero qualis lethargi.

---

1) Aphorismus est 42. Sect. II.
2) l. l. cap. 9 et 11.
3) Spectat Aph. 4. Sect. I. Epid. VI. De cuius loci variis

ἐστιν δὲ ἀνίατον τὸ πάθος, ὥς φησιν Ἱπποκράτης ἐν ἀφορισμοῖς· [1] λύειν ἀποπληξίην ἰσχυρὴν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηϊδίως.

Κεφ. ϛʹ.

Περὶ ἐπιληψίας.

Ἐπιληψία ἐστὶν, ὡς εἴρηται [2] ἐν τῷ τρίτῳ τῆς διαγνωστικῆς, ὅταν πεσών τις ἐξαίφνης σπᾶται καὶ ἀφρίζῃ ὅπερ λέγουσιν οἱ ἰδιῶται δαίμονα καὶ σεληνιασμόν· γίνεται δὲ πάλιν ἐπὶ ἐμφράξει τῶν κοιλιῶν τοῦ ἐγκεφάλου καὶ συμβαίνει παιδίοις μᾶλλον, καί ἐστιν ἀνίατον εἰ μή που ἡλικία προκόπτουσα θεραπεύει τὸ πάθος, ὥς φησιν Ἱπποκράτης [3] ἐν ἀρχῇ τῆς ἕκτης ἐπιδημίας· χρηστέον δὲ θερμῇ διαίτῃ.

Κεφ. ζʹ.

Περὶ κάρου.

Ὁ δὲ κάρος, ὡς ἐν τῷ τρίτῳ τῆς διαγνωστικῆς εἴρηται, ἔοικε τῇ ἀποπληξίᾳ· διαφέρει δὲ ὅτι ἡ μὲν ἀποπληξία ἐν τῇ ὀπισθίᾳ κοιλίᾳ τοῦ ἐγκεφάλου μᾶλλον ἔχει τὴν ἔμφραξιν· ὁ δὲ κάρος ἐν τῇ ἐμπροσθίᾳ. Τοῦ δὲ ληθάργου διαφέρει τῷ τὸν πυρετὸν προηγεῖσθαι μὲν τοῦ κάρου καὶ σφοδρότερον εἶναι, ἕπεσθαι δὲ τῷ ληθάργῳ. γίνεται κάρος καὶ διὰ πληγῆς τῆς κεφαλῆς καὶ κατάγματος ὀστέου θλίβοντος τὸν ἐγκέφαλον· ἡ δὲ θεραπεία ὡς τοῦ ληθάργου.

---

lectt. cf. GAL. in comm., PALLADIUM in Scholiis; FOES. in ann.

Cap. VIII.

De comate.

Coma dicitur somnus profundus ac praeter naturam, quum semper dormiunt aegrotantes neque puncti expergiscuntur, et aegre experrecti rursum decumbunt. Fit autem a pituita frigida in capite et purgandi sunt aegri et inunguendi oleo anethi et nares sinapi fricandae vel pipere cum aceto ad sternutationem provocandam.

Cap. IX.

De catocho, qui catalepsis quoque vocatur.

Catochus est, ubi aegrotantes dormiunt et semper apertos servant oculos et immobiles: fit autem ex immodica siccitate atque oleo cum aqua saepe de die lavandum est corpus.

Cap. X.

De comate vigili.

Coma vigil est, ubi simul et vigilant et dormiunt, vel potius neque vigilant neque dormiunt, sed in intermedio quodam inter utrumque versantur: fit autem a duobus humoribus pituita et bile: pituita somnum, bilis vigilias facit: et ad utrumque, sicuti dictum, curatio informanda est.

---

1) Ἀναγκάζειν de alvo sollicitanda accipiendum.

Κεφ. η'.

Περὶ κώματος.

Κῶμα λέγεται ὁ βαθὺς καὶ παρὰ φύσιν ὕπνος, ὅταν ἀεὶ καθεύδωσιν οἱ κάμνοντες καὶ νυττόμενοι οὐκ ἐγείρωνται καὶ ἐγειρόμενοι μόλις πάλιν πίπτωσιν· γίνεται δὲ ἐπὶ φλέγματι ψυχρῷ ἐν τῷ ἐγκεφάλῳ καὶ δεῖ [1] ἀναγκάζειν καὶ ἀλείφειν ἀνηθελαίῳ καὶ ἐς τὰς ῥῖνας σίνηπι χρίειν, ἢ πέπερι σὺν ὄξει διὰ τὸ πτᾶραι.

Κεφ. θ'.

Περὶ κατόχου, ὃς λεγεται καὶ κατάληψις.

Κάτοχός ἐςιν, ὅταν ἀγρυπνῶσιν οἱ κάμνοντες καὶ ἔχωσιν ἀεὶ ἀνεῳγότα τοὺς ὀφθαλμοὺς καὶ μὴ κινουμένους· γίνεται δὲ ἐπὶ ἀμέτρῳ ξηρότητι καὶ δεῖ εἰς ὑδρέλαιον λούειν πολλάκις τῆς ἡμέρας.

Κεφ. ι'.

Περὶ ἀγρύπνου κώματος.

Ἄγρυπνον κῶμά ἐςιν, ὅταν ἅμα καὶ ἀγρυπνῶσι καὶ καθεύδωσιν, μᾶλλον δὲ οὐδὲ ἀγρυπνοῦσιν, οὐδὲ καθεύδουσιν, ἀλλὰ μεταξύ πώς εἰσι καὶ γίνεται ἐπὶ δύο χυμοῖς, φλέγματι καὶ χολῇ· τὸ μὲν φλέγμα τὸν ὕπνον [2] ἡ δὲ χολὴ τὴν ἀγρυπνίαν. καὶ δεῖ πρὸς ἄμφω ἁρμόζεσθαι, ὡς εἴρηται.

---

2) Forte ποιεῖ interponendum.

Cap. XI.

De phrenitide.

Phrenitis membranae cerebri inflammatio est cum febri: simul autem ea laborantes delirant, et oxyrrhodino hisce caput irrigandum est.

Cap. XII.

De delirio.

Delirium est, quum aliena loquuntur nec mente constant. Nascitur autem e calida intemperie capitis; et rosaceo caput infundendum est vel oxyrrhodino.

Cap. XIII.

De melancholia.

Melancholia adest ubi sine febri delirant et nugantur et mortem sibi exoptant. Oritur autem ab atra bile in capite et morbus hypochondriacus dicitur: interdum vero e ventriculo quoque eiusmodi humor exhalatur et flatulenta affectio nascitur, de qua in tertio Diagnostices libro multa habet GALENUS. Purgandus igitur homo veratro nigro et epithymo et victus rationem eiusmodi, quae boni succi sit, administrare.

---

1) Cf. cap. 10. lib. III. *de locis affectis*. Animadvertendum nostrum h. l. res perturbare. GALENUS melancholiam distinguit ab atra bile in cerebro ipso solo abundante, alteramque ab atra bile in corpore superflua et per consensum cerebrum turbante: tandem tertiam his verbis: *ἔϛι δὲ καὶ τρίτη τις διαφορὰ μελαγχολίας, ὥσπερ ὅτ᾽ ἂν ἐπιληψία τὴν ἀρχὴν ἀπὸ τῆς κοιλίας ἴσχει· καλοῦσι δὲ ἔνιοι τῶν ὑποχἰατρῶν ονδριακόν τε καὶ φυσῶδες νό-*

Κεφ. ια'.

Περὶ φρενίτιδος.

Φρενῖτίς ἐςι φλεγμονὴ τῆς μήνιγγος μετὰ πυρετοῦ· ἅμα δὲ καὶ παραφρονοῦσιν οἱ τοιοῦτοι, καὶ δεῖ ὀξυροδίνῳ διαβρέχειν τὴν κεφαλὴν ἐπὶ τῶν τοιούτων.

Κεφ. ιβ'.

Περὶ παραφροσύνης.

Παραφροσύνη ἐςὶν, ἐπειδὰν ἀλλόκοτα φθέγγωνται καὶ μὴ φρονῶσι, γίνεται δὲ ἐπὶ θερμῇ δυσκρασίᾳ τῆς κεφαλῆς· καὶ δεῖ ῥοδίνῳ, ἢ ὀξυροδίνῳ ταύτην καταντλεῖν.

Κεφ. ιγ'.

Περὶ μελαγχολίας.

Μελαγχολία ἐςὶν, ὅταν ἄνευ πυρετοῦ παραφρονῶσιν καὶ ληρῶσι καὶ εὔχωνται ἀποθανεῖν. γίνεται δὲ ἐπὶ μελαγχολικῷ χυμῷ ἐν τῇ κεφαλῇ, καὶ λέγεται ὑποχονδριακόν. ἔςιν δὲ ὅτε ἐκ τῆς γαςρὸς ἀναθυμιᾶται ὁ τοιοῦτος χυμὸς καὶ γίνεται φυσῶδες, [1] περὶ οὗ ἐν τῷ τρίτῳ τῆς διαγνωςικῆς πολλά φησιν ὁ Γαληνός· δεῖ οὖν καθαίρειν ἐλλεβόρῳ μέλανι καὶ [2] ἐπιθύμῳ, καὶ εὔχυμον πάνυ δίαιταν ἐπιτηδεύειν.

σημα τὴν αὐτὴν διάθεσιν. — Easdem morbi diversitates vide notatas ab Aëtio V. 9. Paulo Aeg. III. 14. Theoph. Nonno. cap. 33: ubi vide quae a Bern. adferuntur. Noster autem falso ὑποχονδριακὸν νόσημα et φυσῶδες a se invicem diversa esse existimat.

2) De Epithymo Diosc. πινόμενον δὲ σὺν μέλιτι κάτω καθαίρει φλέγμα καὶ χολὴν μέλαιναν· ἰδίως ἁρμόζον ἐπὶ μελαγχολικῶν καὶ ἐμπνευματουμένων.

Cap. XIV.

De Mania.

Mania vehementissimum, est delirium, in quo vel adgrediuntur alios: interdum arrepto gladio, vel ligno, vel lapide obvios occidunt. Nascitur autem malum e flava bile in capite et scammonia hos purgare oportet et oxyrrhodino caput inunguere et victui frigido et boni succi operam dare.

Cap. XV.

De memoriae iactura.

Memoriae iactura fit ab immodica refrigeratione et siccitate posterioris cerebri ventriculi, qua facta nullius rei [1]omnino recordantur. Tunc caput tondendum et dropacismo curandum. Dropax vero est, ut ait Archigenes in Diagnostice, quum unguentis calidis ad caput utimur, veluti e pipere, pyrethro, similibusque: sic enim frigus extrorsum revocamus.

Haec quidem in cerebro locum obtinent et in medulla spinali et spina: et iisdem (quae commendavimus) remediis ad ea utendum est.

Cap. XVI.

De paresi.

Paresis dicitur resolutio totius corporis: fit autem

---

1) Forte respiciuntur Archigenis verba, quae cap. 5. III. *de locis affectis* a Gal. adferuntur: *ἐρεθισμούς τε διὰ νάπυος καὶ σικυῶν κούφων, τὰ πολλὰ μὲν ἠπίων, ὅτε δὲ*

Κεφ. ιδ΄.

Περὶ μανίας.

Μανία ἐςὶ σφοδροτάτη παραφροσύνη ὅταν καὶ ἐπέρχωνται· ἔςιν δὲ ὅτε καὶ ξίφος λαβόντες ἢ ξύλον ἢ λίθον φονεύουσι τοὺς παρατυγχάνοντας· καὶ γίνεται ἐπὶ ξανθῇ χολῇ ἐν τῇ κεφαλῇ, καὶ δεῖ τῇ σκαμωνίᾳ τούτους καθαίρειν καὶ ὀξυροδίνῳ τὴν κεφαλὴν ἀλείφειν καὶ ψυχρὰν καὶ εὔχυμον δίαιταν ἐπιτηδεύειν.

Κεφ. ιε΄.

Περὶ μνήμης ἀπωλείας.

Γίνεται ἀπώλεια τῆς μνήμης ἐπὶ ψύξει καὶ ξηρότητι ἀμέτρῳ τῆς ὀπισθίας κοιλίας τοῦ ἐγκεφάλου, ὅταν οὐδενὸς μεμνῆται τὸ παράπαν· καὶ δεῖ ξυρᾶν τὴν κεφαλὴν καὶ δρωπακίσαι αὐτήν. Δρώπαξ δέ ἐςιν ὥς φησιν Ἀρχιγένης [1] ἐν τῇ διαγνωςικῇ, ὅταν θερμοῖς χρίσμασι κεχρήμεθα ἐπὶ τῆς κεφαλῆς, οἷον σίνηπι, πύρεθρον καὶ τὰ τοιαῦτα. οὕτως γὰρ ἀνακαλούμεθα τὴν ψύξιν.

Ταῦτα μὲν ἐν τῷ ἐγκεφάλῳ συνίςανται ἔν τε τῷ νωτιαίῳ καὶ τῇ ῥάχει, καὶ δεῖ τοῖς αὐτοῖς κεχρῆσθαι βοηθήμασιν.

Κεφ. ιϛ΄.

Περὶ παρέσεως.

Πάρεσις λέγεται ἡ παράλυσις ὅλου τοῦ σώματος· γί-

καὶ πάνυ εὐτόνων. — Archigenes ad Marsum Epistolam scripsit, qua consilia illi suppeditavit περὶ τοῦ πατρὸς, ὅπως ἀνακτήσηται τὴν μνήμην αὐτῷ.

ex obturatione primae vertebrae a crasso humore: est etiam ubi semiresolutus seu hemiplectus quis evadit, quando sive dextrae tantum partes, sive sinistrae resolutae sunt, sive id in toto fiat corpore, sive non amplius in toto sed in dimidio tantum. At calida medicamenta in hoc morbo adhibenda ad vertebram obturatam; qualia quae cum castorio et euphorbio et adarce parantur. Interdum sola crura resolvuntur, vertebris obstructis, vel unum resolvitur crus, dimidia medullae spinalis parte affecta, et manus caet., sicuti in quarto Diagnostices libro expositum est.

Cap. XVII.

De spasmo.

Spasmus motus est citra voluntatem in partibus voluntatis imperio subiectis, quales sunt nervi, musculi: spasmus igitur fit ubi membrum extendentes, veluti crus, flectere illud non amplius possunt, et flexum dein extendere nequeunt: causa autem vel nervorum est siccitas, quo casu quoque insanabilis est: vel ariditas, qualis in nimis inanitis vel febricitantibus: causa est etiam repletio, sicuti in succi plenis.

Cap. XVIII.

De emprosthotono et opisthotono et tetano.

Emprosthotonus spasmus est musculorum spinae,

---

1) De medullae spinalis affectionibus GALENUS agit h. l.

νεται δὲ ἐπὶ ἐμφράξει τοῦ πρώτου σπονδύλου ὑπὸ παχέος χυμοῦ. ἔϛιν δὲ ὅτε ἡμιπάρετος, ἤτοι ἡμίπληκτος, γίνεταί τις, ὅταν ἢ τὰ δεξιὰ αὐτοῦ μόνον, ἢ τὰ ἀριϛερὰ μέρη παραλυθῶσιν, ἢ ὅλου τοῦ σώματος, ἢ οὐκέτι ὅλου ἀλλὰ τοῦ ἡμίσεος αὐτοῦ, καὶ δεῖ θερμοῖς βοηθήμασι χρῆσθαι κατὰ τοῦ σπονδύλου τοῦ ἐμπεφραγμένου· οἷά ἐϛι τὰ διὰ καϛορίου καὶ εὐφορβίου καὶ ἀδάρκης. Ἔστι δὲ ὅτε τὰ σκέλη παραλύεται μόνον, ὅταν οἱ σπόνδυλοι ἐμφραγῶσιν, ἢ τὸ ἓν σκέλος παραλύεται, ὅταν τὸ ἥμισυ μέρος τοῦ νωτιαίου πάθῃ καὶ αἱ χεῖρες δὲ καὶ τὰ ἄλλα, [1] ὡς εἴρηται ἐν τῷ τετάρτῳ τῆς διαγνωϛικῆς.

Κεφ. ιζ'.

Περὶ σπασμοῦ.

Σπασμός ἐϛι κίνησις ἀπροαίρετος ἐν προαιρετικοῖς μορίοις· προαιρετικὰ δὲ μόριά εἰσι νεῦρα, μύες· σπασμὸς οὖν γίνεται, ὅταν ἐκτείναντες τὸ μόριον, οἷον τὸ σκέλος, μηκέτι δύνωνται κάμψαι, καὶ κάμψαντες οὐκέτι ἐκτεῖναι δύνωνται. γίνεται δὲ ἢ διὰ ξηρότητα τῶν νεύρων, ὅτε καὶ ἀνίατός ἐϛιν, ἢ διὰ ξηρότητα μὲν ὡς ἐπὶ τῶν ὑπερκαθαιρομένων ἢ πυρεττόντων· διὰ δὲ πλήρωσιν, ὡς ἐπὶ τῶν πληθωρικῶν.

Κεφ. ιη'.

Περὶ ἐμπροσθοτόνου καὶ ὀπισθοτόνου καὶ τετανοῦ.

Ἐμπροσθότονός ἐϛι σπασμὸς τῶν μυῶν τῆς ῥάχεως,

IV. 6. — Inprimis tamen, quae hoc capite habentur hausta sunt e 14. lib. III.

quando flexi sunt et veluti incurvati, neque extendere sese valent. Opisthotonus contra, quando extensi sunt retrorsum neque flectere corpus possunt. Tetanus autem composita est affectio ex utroque, emprosthotono et opisthotono, quum erecti sunt neque extendi vel flecti possunt. — Haec de spasmo.

Cap. XIX.

De tremore.

Tremor vel plebi notus est: oritur autem a partium refrigeratione.

Cap. XX.

De palpitatione.

Palpitatio etiam notissima est fitque magis in facie et palpebris a multa refrigeratione et vetustis flatibus.

Cap. XXI.

De horripilatione, convulsione et rigore.

Omnia haec fere eadem sunt, gradu maiori aut minori diversa: eorum causa bilis est, vel acris materia totum corpus pungens, acus instar: ubi vero causa est levis horripilationem efficit, sin magna convulsionem, quemadmodum et rigorem facit, ubi magna est: rigor enim e convulsione et externorum refrigeratione compositus.

ὅταν κεκαμμένοι ὦσι καὶ οἷον κεκυρτωμένοι καὶ οὐ δύνωνται ἑαυτοὺς ἀνατεῖναι· ὀπισθότονος δὲ τοὐναντίον, ὅταν τεταμένοι ὦσιν εἰς τὰ ὀπίσω καὶ μὴ δύνωνται κάμπτειν ἑαυτούς. τετανὸς δὲ σύνθετόν ἐϛι πάθος ἐκ τῶν δύο τούτων, ἐμπροσθοτόνου καὶ ὀπισθοτόνου, ὅταν ὀρθοὶ ἱστῶνται καὶ οὔτε ἀνατεῖναι ἑαυτοὺς, οὔτε κάμψαι δύνωνται. Ταῦτα μὲν περὶ σπασμοῦ.

κεφ. ιθ'.

Περὶ τρόμου.

Ὁ τρόμος δῆλός ἐϛι καὶ τοῖς ἰδιώταις· γίνεται δὲ ἐπὶ ψύξει τῶν μορίων.

Κεφ. κ'.

Περὶ παλμοῦ.

Καὶ ὁ παλμὸς δῆλός ἐϛι καὶ γίνεται μᾶλλον ἐν τῷ προσώπῳ καὶ τοῖς βλεφάροις ἀπὸ ψύξεως πολλῆς καὶ παχαιῶν πνευμάτων.

Κεφ. κα'.

Περὶ φρίκης καὶ κλόνου καὶ ῥίγους.

Ταῦτα πάντα σχεδὸν τὰ αὐτά εἰσι, διαφέροντα παρὰ τὸ μᾶλλον καὶ ἧττον· γίνονται δὲ ἐπὶ χολῇ, ἤτοι ἐπὶ δριμείᾳ ὕλῃ κεντούσῃ ὅλον τὸ σῶμα, ὥσπερ βελόνη· ἀλλ' εἰ μὲν μικρόν ἐϛι τὸ αἴτιον ποιεῖ φρίκην, εἰ δὲ μέγα ποιεῖ κλόνον· ὥσπερ καὶ εἴ ἐϛι μέγα ποιεῖ ῥῖγος· σύγκειται γὰρ τὸ ῥῖγος ἀπὸ κλόνου καὶ περιψύξεως.

Cap. XXII.

De pandiculatione et oscitatione.

Pandiculamur quum e somno expergefacti crura et pedes extendimus et voluptatem inde percipimus: fit autem hoc ex inflatione musculorum: i. e. musculorum in maxillis, quos maseteres vocant.

INITIUM LIBRI TERTII.

Cap. I.

De oculis.

Morborum, qui oculis accidunt, curationem expositurus necessarium credidi eorum anatomen praemittere, utilem ad multa eorum, quae mox tradentur. Hinc autem initium faciam: cerebro tres ventriculos habente, anteriorem, posteriorem ac medium, septem nervorum paria ex illis procedunt, exceptis processibus, quos vocant, mastoïdeis: ipse enim illi processus mastoïdei quum pars sint cerebri anterioris ad na-

---

1) Pro *τοὺς πόδας* forte *τὰς χεῖρας* legendum.

2) Animadvertendum Nostrum sinus frontales appellare processus mastoïdeos: quod hinc videtur explicandum, quod Gal. dicit *de olfactus organo* cap. II. *καὶ τοίνυν τῆς ῥινὸς ἐχούσης μέσον διάφραγμα καὶ πόρους ἀξιολόγους δύο, τούτους δὴ τοὺς φαινομένους, ἕνα καθ᾽ ἑκάτερον μυκτῆρα, χρὴ γινώσκειν ἀνωτέρω τῶν μέσων τῆς ῥινὸς ἑκάτερον αὐτῶν δίχα σχιζόμενον. ἥκει δὲ τῶν μερῶν τὸ μὲν ἕτερον εἰς τὸ τοῦ ϛόματος ἔνδον, τὸ δ᾽ ἕτερον ὄρθιον*

Κεφ. κβ'.

Περὶ σκορδινησμοῦ καὶ χάσμης.

Σκορδινησμός ἐςιν, ὅταν ἐγειρόμενοι ἐξ ὕπνου διατείνωμεν τὰ σκέλη καὶ [1] τοὺς πόδας καὶ ἡδώμεθα τοῦτο ποιοῦντες. τοῦτο δὲ γίνεται δι᾽ ἐμπνευμάτωσιν τῶν μυῶν, τουτέςι τῶν ἐν ταῖς σιαγόσιν, οἵτινες λέγονται μασητῆρες.

ΑΡΧΗ ΤΟΥ ΤΡΙΤΟΥ ΛΟΓΟΥ.

Κεφ. α'.

Περὶ ὀφθαλμῶν.

Τῶν ἐν τοῖς ὀφθαλμοῖς παθῶν τὴν θεραπείαν διηγούμενος ἀναγκαῖον ἡγοῦμαι τὴν ἀνατομὴν αὐτῶν προειπεῖν, χρησίμην οὖσαν εἰς πολλὰ τῶν λεχθησομένων. ἄρξομαι δ᾽ ἐντεῦθεν· τοῦ ἐγκεφάλου τρεῖς κοιλίας ἔχοντος, ἐμπροσθίαν, ὀπισθίαν καὶ μέσην, ἑπτὰ νεύρων συζυγίαι προέρχονται ἐξ αὐτῶν χωρὶς τῶν [2] μαςοειδῶν καλουμένων ἀποφύσεων· αὗται γὰρ αἱ μαςοειδεῖς ἀποφύσεις, μέρος οὖσαι τοῦ ἐμπροσθίου ἐγκεφάλου ἐπὶ τὰς

ὡς ἐξ ἀρχῆς ἐφέρετο πρὸς αὐτὸν ἀναβαίνει τὸν ἐγκέφαλον: εἰσὶ γὰρ αὐτῶν (legendum αὐτοῦ) καὶ δύο κατὰ τοῦτο ἀποφύσεις προμήκεις τε καὶ κοῖλαι, τὴν ἀρχὴν μὲν ἐκ τῶν προσθίων ἔχουσαι κοιλιῶν, καθήκουσαι δὲ ἐπ᾽ ἐκεῖνο τοῦ κρανίου τὸ μέρος, ὅθεν ἡ ῥὶς ἄρχεται· κατὰ τοῦτο καὶ ἡ τῶν ἠθμοειδῶν ὀςῶν ἐςι θέσις κ. τ. λ. Harum apophysium mentio fit itidem in libris *de usu partium* et in *Isagoge*: illasque Noster *apophyses mastoïdeas* dixit.

res tendunt, ubi cribriforme, ita dicunt, os subiacet, in quo olfactus facultas sedem habet. E septem igitur hisce paribus primum et secundum, quod vocant, ad oculos tendit: primum visus facultatem eorum vehens, qua colores distinguit oculus et ad latera illum advertimus. Primum autem par peculiare quid habet: ceteri enim nervi quum solidi sint, solum hoc leve est et cavitatem habet, qua cavitate spiritus opticus ad oculos vehitur: praeterea aliud quid peculiare hi nervi habent: quum enim in formam litterae X secum coniunguntur, vulgo credunt dextrum nervum ad sinistrum oculum ferri, laevum vero ad dextrum: nec tamen ita se res habet, sed falluntur qui ita statuunt. Post coniunctionem enim rursum dexter nervus ad dextrum oculum revertitur, laevus vero ad laevum. Id autem a natura factum est eo consilio, ut si quando oculus unus laesus sit, omnis spiritus per communionem ad unum oculum illum conflueret, quo fit etiam ut nos, ubi e longinquo rem conspicere velimus, alterum oculum claudamus, ut omnis spiritus opticus in alterum confluat. Hi igitur primi paris nervi e cerebro ad oculum vecti reticulatam formant tunicam: ita enim vocatur quia plagis et reti sphaerico similis est. Intus in retiformi illa tunica tres sunt humores: vitreus quem vocant quia vitro similis est, ovi albo similis, quia refert. . . . .
. . . . sarcocollae, croci, glaucio, chelidonio minori et camphora.

---

1) Deficit hic in Cod. folium integrum. Notandum est, caput, quod post lacunam sextum dicitur, in Indice quin-

ῥῖνας καθήκουσιν, ἔνθα τὸ ἠθμοειδὲς οὕτω λεγόμενον ὀστοῦν ὑπόκειται, ἐν ᾧ ἡ ὀσφραντικὴ δύναμίς ἐςι. Τούτων οὖν τῶν ἑπτὰ συζυγιῶν ἡ πρώτη καὶ ἡ δευτέρα καλουμένη εἰς τοὺς ὀφθαλμοὺς φέρεται, ἡ μὲν πρώτη ὀπτικὴν αὐτῶν φέρουσα δύναμιν, καθ᾽ ἣν διακρίνει τὰ χρώματα καὶ πρὸς τὰ πλάγια περιςρέφομεν τὸν ὀφθαλμόν· ἐξαίρετον δέ τι ἡ πρώτη συζυγία ἔχει· τῶν γὰρ ἄλλων νεύρων ναςῶν ὄντων, αὕτη μόνη κούφη ἐςὶ καὶ κοιλότητα ἔχει, δι᾽ ἧς κοιλότητος τὸ πνεῦμα τὸ ὀπτικὸν ἐπὶ τοὺς ὀφθαλμοὺς φέρεται· καὶ ἄλλο δὲ ἐξαίρετον ἔχει τὰ νεῦρα ταῦτα· συναπτόμενα γὰρ ἀλλήλοις χιοειδῶς νομίζεται τὸ μὲν δεξιὸν νεῦρον εἰς τὸν ἀριςερὸν ὀφθαλμὸν φέρεσθαι, τὸ δὲ ἀριςερὸν εἰς τὸ δεξιόν. οὐκ ἔςι δὲ ἀληθές, ἀλλ᾽ ἠπάτηνται οἱ οὕτω νομίζοντες μετὰ γὰρ τὸ συναφθῆναι πάλιν ὑποςρέφει τὸ μὲν δεξιὸν νεῦρον εἰς τὸν δεξιὸν ὀφθαλμὸν, τὸ δὲ ἀριστερὸν εἰς τὸν ἀριςερόν Τοῦτο δὲ γέγονεν ὑπὸ τῆς φύσεως ἵνα, εἴπου βλαβῇ ὁ εἷς ὀφθαλμὸς, ὅλον τὸ πνεῦμα διὰ τῆς κοινωνίας εἰς τὸν ἕνα συναχθῇ, ὅθεν καὶ ἡμεῖς, ὅταν βουλώμεθα ἐπὶ πολὺ διάςημα ὁρᾷν, μύομεν τὸν ἕνα ὀφθαλμὸν, ἵνα ὅλον τὸ πνεῦμα τὸ ὀπτικὸν εἰς τὸν ἕνα ἀθροισθῇ. Ταῦτα τοίνυν τῆς πρώτης συζυγίας τὰ νεῦρα φερόμενα ἐκ τοῦ ἐγκεφάλου εἰς τὸν ὀφθαλμὸν ποιοῦσι τὸν ἀμφιβληςροειδῆ χιτῶνα· οὕτω γὰρ λέγεται ἐπειδὴ ἔοικε δικτύῳ καὶ ἀμφιβλήςρῳ σφαιρικῷ. Ἔσωθεν τούτου τοῦ ἀμφιβληςροειδοῦς χιτῶνός εἰσι τρία ὑγρά· τὸ ὑαλῶδες λεγόμενον, ἐπειδὴ ἔοικεν ὑέλῳ, τὸ ᾠῶδες, ἐπειδὴ ἔοικε τῷ

[1] . . . . σαρκοκόλλης, κρόκου, γλαυκίῳ, μαμηρᾷ καὶ καμφορᾷ.

---

tum esse, quare remedia ista, quae post hiatum enumerantur, credam ad ψωροφθαλμίαν pertinere.

Cap. VI.

De sicca oculi inflammatione.

Sicca oculi inflammatio, est quum oculus aridus est et difficulter movetur et pruriginem aliquam facit. Causa autem est ariditas similiaque, a balneo et alimento et somno abstinentia. Morbus etiam sclerophthalmia vocatur.

Cap. VII.

De phthisi.

Phthisis etiam de oculo dicitur, quum non alitur et minor factus est et magis excavatus: in hoc morbo collyriis non est utendum, nocent enim et exsiccant, sed balneis et victu boni succi.

Cap. VIII.

De asperitate oculorum.

Oculorum asperitas dicitur, ubi extrorsum versis palpebris in illis vides frumenta quaedam aspera, qualia sunt quae in ficubus inveniuntur. Ad hanc utimur trachomaticis, quae vocantur, collyriis, i. e. asperitatem tollentibus, eo quod cum vino paratur, et quod cum duobus lapidibus, similibusque. Quodsi vero asperitates vetustiores sunt et induruerunt, callus vocatur.

Cap. IX.

De sycosi.

Sycosis est, ubi in palpebris extrorsum versis invenis carnem quamdam rubram excrescentem, veluti fi-

Κεφ. ϛʹ.

Περὶ ξηροφθαλμίας.

Ξηροφθαλμία ἐϛὶν, ὅταν κατάξηρος ᾖ ὁ ὀφθαλμὸς καὶ δυσχερῶς κινῆται καὶ κνισμὸν μικρὸν ἐμποιῇ. γίνεται δὲ ἐπὶ ξηρότητι καὶ τοῖς τοιούτοις, λουτρῶν καὶ τροφῆς καὶ ὕπνων ἀποϛάσει. λέγεται δὲ τὸ πάθος καὶ σκληροφθαλμία.

Κεφ. ζʹ.

Περὶ φθίσεως.

Φθίσις λέγεται καὶ ὀφθαλμοῦ, ὅταν ἀτροφήσῃ καὶ μικρότερος γένηται καὶ κοιλότερος· ἐπὶ τούτου οὐ δεῖ κεχρῆσθαι κολλουρίοις, βλάπτει γὰρ καὶ ξηραίνει, ἀλλὰ λουτροῖς καὶ εὐχύμῳ διαίτῃ.

Κεφ. ηʹ.

Περὶ τραχωμάτων.

Τραχώματα λέγονται, ὅταν ἐκστρέψας τὰ βλέφαρα ἴδῃς ἐν αὐτοῖς οἷον κεγχραμίδας τινὰς τραχείας οἷαι αἱ τῶν συκῶν εἰσιν. ἐπὶ τούτων κεχρήμεθα τοῖς τραχωματικοῖς λεγομένοις κολλουρίοις, τῷ δι' οἴνου, τῷ διὰ τῶν δύο λίθων καὶ τῶν τοιούτων. Ὅταν δὲ τραχώματα παλαιότερα γένηται καὶ ἀπολιθωθῇ, τύλωσις λέγεται τὸ τοιοῦτον.

Κεφ. θʹ.

Περὶ συκώσεως.

Σύκωσίς ἐϛιν, ὅταν ἐκστρέψας τὰ βλέφαρα εὕρῃς ὑπερσαρκήματά τινα ἐρυθρὰ, ὥσπερ σῦκα· καὶ αὐτὰ δὲ τοῖς

cus: hae etiam trachomaticis collyriis curantur, quae, aliis deficientibus, illinimus.

Cap. X.

De grandine in oculis, quam χαλάζιον vocant.

Grando, χαλάζιον, vocatur, quum in palpebra prope tarsum, ubi pili sunt, pustulae quaedam rotundae nascuntur molles et madentes grandini similes, hae autem exciduntur, vel filo circumducto interceptae tolluntur.

Cap. XI.

De hordeolo.

Hordeum, ut aiunt nonnulli, grando est: rem accuratius perpendentes dicunt grandinem forma rotundam esse, hordeolum oblongum, sicuti hordeum proprie sic dictum. Instillandum ergo decoctum hordei vel fumariae inter ipsum hordeum crescentis, vel curatione, quae ad grandinem praescribitur, auferre.

Cap. XII.

De lapillis in oculis.

Lapilli in oculo sunt, ubi extrorsum versa palpebra apparent particulae quaedam veluti lapideae, ad instar asperitatum: istae vero oculum male pungunt: sanatur morbus efficacissimis collyriis trachomaticis.

---

1) *Ἐξ* ὑποβολῆς significare suspicor, utendum esse ad hoc

τραχωματικοῖς κολλουρίοις θεραπεύεται [1] ἐξ ὑποβολῆς ἐγχριόντων ἡμῶν.

Κεφ. ι'.

Περὶ χαλαζίων.

Χαλάζιον λέγεται, ὅταν ἐντὸς τοῦ βλεφάρου ἐγγὺς τοῦ ταρσοῦ, ὅπου αἱ τρίχες, ψυδράκιά τινα ϛρογγύλα γίνηται μαλακὰ καὶ πλαδαρὰ ἐοικότα χαλάζῃ, τὰ δὲ τοιαῦτα ἐκτέμνομεν, ἢ ἀπολινοῦμεν.

Κεφ. ια'.

Περὶ κριθῆς.

Κριθή ἐϛιν, ὡς μέν τινες λέγουσι, τὸ χαλάζιον, οἱ δὲ ἀκριβέϛεροί φασιν, ὅτι τὸ μὲν χαλάζιον ϛρογγύλον ἐϛὶν, ἡ δὲ κριθὴ μακροτέρα, ὥσπερ ἡ κυρίως κριθή. ἐγχυματίζειν οὖν αὐτὴν δεῖ κριθῶν ἀποβρέγματι ἢ καπνοῦ τοῦ ἐν ταῖς κριθαῖς φυομένου, ἢ τῇ τῶν χαλαζίων θεραπείᾳ ὑπάγεσθαι.

Κεφ. ιβ'.

Περὶ λιθιάσεως.

Λιθίασις ὀφθαλμῶν ἐϛιν, ὅταν ἐκστρέφας τὸ βλέφαρον ἴδῃς ὄγκους τινὰς λιθώδεις, ὥσπερ τὰ τραχώματα· ταῦτα δὲ νύττει κακῶς τὸν ὀφθαλμὸν, θεραπεύεται δὲ τοῖς δραϛικωτέροις τραχωματικοῖς κολλουρίοις.

---

malum collyriis trachomaticis, quod deficiant alia huic sycosi peculiariter destinata.

Cap. XIII.

De pediculari oculorum morbo.

Fuere qui viderint pediculos latos ad capillos oculi natos, procul dubio e putredine: oportet autem ad illos iisdem uti collyriis, admiscenda vero etiam efficaciora, veluti collyrium, quod dicitur, Constantini.

Cap. XIV.

De trichiasi.

Trichiasis est, ubi alii capilli in palpebra subnati sunt et oculum pungunt et lacrymari faciunt: ad hos curandos adhibemus simplicem sectionem et anarraphen, et catarraphen, si in palpebra inferiori est.

Cap. XV.

De phalangosi.

Phalangosis vocatur, ubi duobus vel tribus ordinibus novi pili crescunt. Eadem hoc in casu curatio adhibenda.

Cap. XVI.

De ptosi.

Ptosis dicitur, quando novi quidem capilli non nascuntur, sed ipsi qui adsunt oculum contra naturam pungunt. Curamus morbum illos adglutinando.

Cap. XVII.

De paralysi.

Subinde palpebrae musculus resolvitur, neque eam

Κεφ. ιγ'.

Περὶ φθειριάσεως.

Τινὲς ἱςόρησαν φθεῖρας πλατεῖς γινομένους περὶ τὰς τρίχας τοῦ ὀφθαλμοῦ, ἐκ σήψεως δηλονότι. καὶ δεῖ ἐπὶ τῶν τοιούτων τοῖς αὐτοῖς κεχρῆσθαι κολλουρίοις, μιγνύναι δὲ καὶ δραςικὰ, οἷόν ἐςι τὸ Κωνςαντίνου λεγόμενον κολλούριον.

Κεφ. ιδ'.

Περὶ τριχιάσεως.

Τριχίασίς ἐςιν, ὅταν ἄλλαι τρίχες ἐν τῷ βλεφάρῳ φυῶσι καὶ νύττωσι τὸν ὀφθαλμὸν καὶ δακρύειν ποιῶσιν· ἐπὶ τούτων παραλαμβάνομεν τὴν ἁπλοτομίαν καὶ τὴν ἀναῤῥαφὴν καὶ τὴν καταῤῥαφὴν, ἐὰν ἐν τῷ κάτω βλεφάρῳ ᾖ.

Κεφ. ιε'.

Περὶ φαλαγγώσεως.

Φαλάγγωσις λέγεται, ὅταν διςιχία ἢ τριςιχία γένηται φυομένων τριχῶν. ἡ αὐτὴ δὲ ἐπὶ τούτων ἐςὶ θεραπεία.

Κεφ. ις'.

Περὶ πτώσεως.

Πτῶσις λέγεται, ὅταν ἄλλαι μὲν τρίχες μὴ γένωνται· αὐταὶ δὲ καμπτόμεναι παρὰ φύσιν κεντῶσι τὸν ὀφθαλμόν. θεραπεύομεν δὲ αὐτὰς ἀνακολλίζοντες.

Κεφ. ιζ'.

Περὶ παραλύσεως.

Ἔστι δὲ ὅτε παραλύεται ὁ μῦς τοῦ βλεφάρου καὶ οὐ

levare possunt: fit hoc a refrigeratione, utimurque calefacientibus v. c. igne.

Cap. XVIII.

De tumore carneo in oculi angulo, ἐγκανθίδα.

Ἐγκανθίς est, quum in angulo interno ulcere facto caro excrescit: curamus chirurgia sollerter resecantes.

Cap. XIX.

De lacrymarum fluxu, ῥυάδα vocant.

Ῥυάς adest, ubi perversa chirurgia vel alia quadam causa angulus internus resolutus est, neque amplius lacrymas continet, sed hae praeter voluntatem effunduntur. Adhibemus pulveres densantes inspergendos, qualis e spongiis ustis et Severi ille.

Cap. XX.

De pterygio.

Pterygium carnosa est excrescentia membranae adnatae, ab interno angulo incipiens et extensa usque ad pupillam, ita ut magis aucta eam obtegat et lucem intercipiat: utimur pterygotomia per acum filum traiicientes equinum atque ita secantes, dein adstringentibus collyriis utimur et tenuibus, qualia sunt Constantini illud et quod cum cornu cervi paratur et cum murice. Raro etiam ab externo angulo excrescit pterygium.

δύνανται ἀνοίγειν αὐτόν· γίνεται δὲ διὰ ψύξιν καὶ κεχρήμεθα τοῖς θερμαίνουσιν οἷον πυρί.

Κεφ. ιη′.

Περὶ ἐγκανθίδων.

Ἐγκανθίς ἐςιν, ὅταν ἐν τῷ μεγάλῳ κανθῷ ἕλκους γενομένου ὑπερσάρκωσις γίνηται· θεραπεύομεν δὲ αὐτὸ διὰ χειρουργίας εὐφυῶς τέμνοντες.

Κεφ. ιθ′.

Περὶ ῥυάδος.

Ῥυάς ἐςιν, ὅταν ἀπὸ χειρουργίας κακῆς, ἢ ἄλλης αἰτίας παραλυθῇ ὁ μέγας κανθὸς καὶ μηκέτι κατέχηται τὸ δάκρυον, ἀλλὰ φέρηται ἀκουσίως. κεχρήμεθα ξηρίοις πυκνωτικοῖς, οἷόν ἐςι τὸ διὰ τῶν κεκαυμένων σπόγγων καὶ τὸ Σεβηριανόν.

Κεφ. κ′.

Περὶ πτερυγίου.

Πτερύγιόν ἐςιν ὑπερσάρκημα τοῦ ἐπιπεφυκότος ὑμένος ἀρχόμενον ἐκ τοῦ μεγάλου κανθοῦ καὶ ἐξαπλούμενον μέχρι τῆς κόρης, ὅθεν ἐπειδὰν αὐξηθῇ σκοτίζει αὐτήν· καὶ κεχρήμεθα λοιπὸν τῇ πτερυγοτομίᾳ, βελόνῃ ἐμβάλλοντες τρίχα ἵππου καὶ οὕτως πρίζοντες καὶ λοιπὸν τοῖς καταςαλτικοῖς κολλουρίοις κεχρήμεθα καὶ λεπτοῖς, οἷον τὸ Κωνςαντίνου καὶ τὸ διὰ κέρατος ἐλαφίου, καὶ τὸ διὰ κογχύλης. Γίνεται δὲ πτερύγιον σπανιάκις καὶ ἀπὸ τοῦ μικροῦ κανθοῦ.

Cap. XXI.

De adhaesione, (prosphysi vel symphysi)[1].

Prosphysis est, ubi palpebrae ex ulceratione oculo adnascuntur vel secum invicem concrescunt et conglutinantur; malum est incurabile: sunt tamen qui manu illi mederi audeant.

Cap. XXII.

De aegilope.

Aegilops dicitur, quum abscessus oritur prope angulum internum et nares: interdum rumpitur et in fistula versus angulum nascitur, unde pus defertur. Atque hoc quidem nonnulli urunt cauterio fistulari, dein os narium perfodiunt et faciunt, ut per istud os pus effluat, posteaque medicamentis utuntur carnes augentibus.

Cap. XXIII.

De hyposphagmate s. haematide.

Hyposphagma s. haematida vocant, quum ex ictu aliquo oculus rupturam venulae parvae patitur sanguisque effunditur et rubrum fit oculi album non totum quidem, sed pro parte. Sin autem diu perstet non rubrum sed nigrum fit: hoc quidem curamus pullum columbinum necantes sanguinemque calidum instillantes.

---

1) Cf. Celsus VII. 7. 7. Aëtius VII. 88.

Κεφ. κα'.

Περὶ προσφύσεως, ἤτοι συμφύσεως.

Πρόσφυσίς ἐςιν, ὅταν τὰ βλέφαρα ἑλκωθέντα προσφύηται τῷ ὀφθαλμῷ, ἢ ἀλλήλοις συμφυηται καὶ κολλᾶται· ἔςι δὲ ἀνίατον τὸ πάθος, τινὲς δὲ αὐτο τολμῶσι χειρουργεῖν.

Κεφ. κβ'.

Περὶ αἰγίλωπος.

Αἰγίλωψ λέγεται, ὅταν ἀπόςημα γένηται ἐγγὺς τοῦ μεγάλου κανθοῦ καὶ τῆς ῥινός· ἔςι δὲ ὅτε ῥήγνυται καὶ συριγγοῦται εἰς τὸν κανθὸν, κἀκεῖθεν φέρεται τὸ πῦον· καὶ τουτους [1] καίουσί τινες τῷ συριγγιακῷ καυτῆρι, εἶτα τρυπῶσι τὸ ὀςοῦν τῆς ῥινὸς καὶ ποιοῦσι διὰ τὸ ὀςοῦν φέρεσθαι τὸ πῦον, εἶτα καὶ σαρκωτικοῖς κέχρηνται.

Κεφ. κγ'.

Περὶ ὑποσφάγματος, ἤτοι αἱματίδος.

Ὑπόσφαγμα καλοῦσιν ἤτοι αἱματίδα, ὅταν ἐκ πληγῆς τινος ὁ ὀφθαλμὸς ῥῆξιν ὑπομείνῃ φλεβίου μικροῦ καὶ ἐκχυθῇ αἷμα καὶ γένηται ἐρυθρὸν τὸ λευκὸν, οὐχ ὅλον ἀλλὰ μέρος· ἐὰν δὲ χρονίσῃ, οὐκ ἐρυθρὸν ἀλλὰ μέλαν γίνεται· ἰώμεθα δὲ τοῦτο σφάζοντες [2] περιςερόπουλον καὶ τὸ αἷμα θερμὸν ἐπιχέοντες.

---

2) Cf. Du Cang. in voce.

Cap. XXIV.

De chemosi.

Chemosis nomen duos indicat morbos: alterum quum ab intensa inflammatione palpebra utraque incurvatur et extrorsum vertitur, nec totum oculum contegere potest, quod curamus sicuti supra phlegmonen curari monuimus. Verum chemosis proprie dicitur quum album oculi inflammatum altius excrescit quam nigrum, ita ut hoc magis in profundo conspiciatur circuli forma: hoc in casu emulgentibus et repellentibus collyriis utimur, qualia sunt quod cum lacte paratur, ceratum, Telamonium, Theophileum, quod cum vino componitur, Hermolaus dictum, stauridatum similiaque alia.

Cap. XXV.

De Argemo.

Argemon dicitur, quum in nigro prope iridis circulum rotunda ulcuscula fiunt et albidiora adspectu sunt: ea autem curamus quemadmodum leucoma.

Cap. XXVI.

De Nubecula.

Nubecula dicitur, quum ex ulcere in superficie macula alba (leucoma vocant) nascitur levis et non cohaerens, nubi similis. Verum hoc quoque veluti leucoma curamus.

---

1) Dubito an apud alios collyrii Stauridoti mentio fiat: coniicio ϛαυριδάτον scribendum esse et de remedio nomen

Κεφ. κδ'.

Περὶ χημώσεως.

Δύο σημαίνει ἡ χήμωσις πάθη, ἓν μὲν ὅταν ἐκ φλεγμονῆς μεγάλης ἀμφότερα τὰ βλέφαρα κυρτωθῇ καὶ ἐκτραπῇ καὶ μὴ δύνωνται ὅλον σκέπειν τὸν ὀφθαλμὸν, καὶ τοῦτο θεραπεύομεν, ὥσπερ εἴρηται ἀνωτέρω τὴν φλεγμονήν. λέγεται δὲ χήμωσις κυρίως, ὅταν τὸ λευκὸν τοῦ ὀφθαλμοῦ φλεγμαῖνον ὑψηλότερον γένηται τοῦ μέλανος, ὅθεν φαίνεται βαθύτερον καὶ κυκλοτερὲς τὸ μέλαν· καὶ τότε λοιπὸν ἁπαλοῖς καὶ ἀποκρουςικοῖς κολλουρίοις κεχρήμεθα, οἷον τῷ κολλουρίῳ τῷ διὰ γάλακτος, τῷ κηρίνῳ, τῷ τελαμωνίῳ. τὸ θεοφίλιον, τὸ δι' οἴνου, ὁ ἑρμόλαος, [1] τὸ ςαυριδοτὸν καὶ τὰ τοιαῦτα.

Κεφ. κε'.

Περὶ ἀργέμου.

Ἄργεμον λέγεται, ὅταν ἐν τῷ μέλανι κατὰ τὸν τῆς ἴριδος κύκλον ςρογγύλα ἕλκη γένηται καὶ φαίνηται λευκότερα· ἰώμεθα δὲ αὐτὰ ὥσπερ τὸ λεύκωμα.

Κεφ. κς'.

Περὶ νεφελίου.

Νεφέλιον δὲ λέγεται, ὅταν ἐξ ἐπιπολαίου ἑλκώσεως λεύκωμα γένηται λεπτὸν καὶ διεσπασμένον ἐοικὸς νεφέλῃ. ἰώμεθα δὲ καὶ αὐτὸ ὥσπερ τὸ λεύκωμα.

---

intelligendum esse, quod cum ςαυρίδιν herba compositum fit, i. e. cum hyssopo vide Du C. p. 1431.

Cap. XXVII.

De caligine.

Caligo est, quum per totum oculum ex ulceratione leucoma diffunditur.

Cap. XXVIII.

De leucomate.

Leucoma cicatrix est ab ulcere corneae membranae crassa et alba et impediens pupillam, quominus videat. Ad hoc utimur attenuantibus efficacibusque collyriis, v. c. thalassero, eo quod proteus dicitur, eo quod cum murice paratur, stercore crocodili cum melle sine fumigatione collecto, similibusque aliis.

Cap. XXIX.

De Hypopyo.

Hypopyon dicitur, quando totum nigrum (iridem vocant) pus occupat, vel dimidium. Juvat imprimis aquosum, quod dicitur, collyrium, quaeque huius sunt generis.

---

1) Ista nomina animadvertenda; quid collyrium protistum? ni fallor est collyrium *Πρωτεύς*: nimirum Alex. Trall. II. 5. sub fin. cap. *καὶ ὁ πρωτεὺς τὸ κολλούριον καὶ ὁ θαλάσσερος καλούμενος πρὸς ἀμβλυωπίας καὶ ἀρχομένας ὑποχύσεις, καὶ τύλους σμήχει.* Videmus certe h. l. duo ista coniungi.

2) In marg. MS. ad hoc caput leguntur ista: *ἐνάλῳ* (*ἐν*

Κεφ. κζ'.

Περὶ ἀχλύος.

Ἀχλύς ἐςιν, ὅταν καθ' ὅλον τὸν ὀφθαλμὸν ἐξ ἑλκώσεως λεύκωμα γένηται.

Κεφ. κη'.

Περὶ λευκώματος.

Λεύκωμά ἐςιν οὐλὴ ἐξ ἑλκώσεως τοῦ κερατοειδοῦς χιτῶνος παχεῖα καὶ λευκὴ καὶ ἐμποδίζουσα τὴν ὄψιν εἰς τὸ ὁρᾷν· κεχρήμεθα δὲ ἐπὶ αὐτῶν τοῖς λεπτυντικοῖς καὶ δραςικοῖς κολλουρίοις, οἷον [1] τῷ θαλασσέρῳ, τῷ πρωτίστῳ, τῷ διὰ κογχύλης, τῇ κροκοδείλου κόπρῳ μετὰ μέλιτος ἀκαπνίστου καὶ τοῖς τοιούτοις [2].

Κεφ. κθ'.

Περὶ ὑποπύου.

Ὑπόπυον λέγεται, ὅταν ὅλον τὸ μέλαν, τὴν λεγομένην ἶριν, πῦον περιλάβῃ, ἢ τὸ ἥμισυ· ποιεῖ δὲ πρὸς τοῦτο τὸ ὑδαρὲς κολλούριον καὶ τὰ τοιαῦτα.

ἄλλῳ leg.) ὑπόπυά ἐςι τὰ πελιδνώματα τὰ ὑποκάτω τοῦ ὀφθαλμοῦ, ὅταν μελαίνῃ τὸ κάτω βλέφαρον· συμβαίνει τοῦτο μᾶλλον γυναιξίν· ἔστι δὲ καὶ αἱματώδης καὶ ὑπόξανθος ἡ χροιά. Videmus non ὑπόπυα sed ὑπώπια describi. Recipiendum non est; in capp. indice desideratur hoc loco et aeque ac in codice in fine libri habetur, ubi vide..

Cap. XXX.

De bothrio.

Bothrion ulcus est in oculo purum et rotundum foveae instar. Ad hoc iuvant collyria carnem adaugentia, veluti quod cum aloë et quod cum thure paratur, aliaque eiusmodi; vim enim habent vacua complendi.

Cap. XXXI.

De muiocephalo, s. procidentia oculi.

Muscae caput (*μυιοκέφαλον* Graece) adest ubi corroditur membrana cornea, ac dein interna corneae membrana, nigra dicta procedit, ita ut caput muscae referat. Malum etiam procidentia dicitur. Curamus autem adstringentibus et densantibus, in oculum illa instillantes, adeo ut nonnulli chalcanthum dilutum instillare audeant: adstringit enim et procedentem membranam introrsum repellit.

Cap. XXXII.

De staphylomate.

Staphylomata sunt, quum muiocephalum adauctum in magnum volumen excrescit, instar uvae albae, quo facto nec palpebrae oculum totum contegere valent

---

1) *Μυοκέφαλον*, licet saepius legatur, (cf. *Thes.* Steph. Ed. Lond. p. 909. D. in voce *κεφαλή*) ferri nequit. — Recte Paulus Aeg. III. 22. *περὶ προπτώσεως, ἥτις μικρὰ ἔτι οὖσα, ὡς προσεοικέναι μυίας κεφαλῇ, μυιοκέφαλον καλεῖται.* — Eadem comparatio apud Aëtium VII.

Κεφ. λ΄.

Περὶ βοθρίου.

Βοθρίον ἕλκος ἐςὶν ἐν τῷ ὀφθαλμῷ καθαρὸν καὶ ςρογγύλον, ὥσπερ βόθρος· ποιεῖ δὲ πρὸς ταῦτα σαρκωτικὰ κολλούρια, οἷον τὸ δι᾽ ἀλωῆς, τὸ διὰ λιβάνου καὶ τὰ τοιαῦτα· ἀναγεμίζει γὰρ αὐτά.

Κεφ. λα΄.

Περὶ [1] μυιοκεφάλου.

Μυιοκέφαλόν ἐςιν, ὅταν ἀνάβρωσις γένηται τοῦ κερατοειδοῦς χιτῶνος καὶ λοιπὸν ὁ ἔσωθεν τοῦ κερατοειδοῦς χιτὼν, ὁ μέλας λεγόμενος, προπέσῃ, ὡσεὶ κεφαλὴ μυίας. λέγεται δὲ τὸ πάθος καὶ πρόπτωσις· ἰώμεθα δὲ αὐτὸ τοῖς ςύφουσι καὶ πυκνοῦσιν ἐγχυματίζοντες· ὅθεν τινὲς τολμῶσι χάλκανθον ὑδαρέςερον ἐγχυματίζειν· ςύφει γὰρ καὶ ὠθεῖ ἔσω τὸν προπεσόντα χιτῶνα.

Κεφ. λβ΄.

Περὶ ςαφυλώματος.

Σταφυλώματά εἰσιν, ὅταν τὸ μυιοκέφαλον αὐξηθὲν πολὺ ὀγκωθῇ, ὥσπερ ςαφυλὴ λευκὴ, ὅτε καὶ μὴ δύναται τὰ βλέφαρα σκέπειν ὅλον τὸν ὀφθαλμὸν διὰ τὸν ὄγκον

35, ubi tamen vitio Editorum *μυοκεφάλων* et *μυοκέφαλον*. Hoc etiam apud auctorem *Defin. Med.* — Recte Schneid. *μυιοκέφαλον* in Lex. *μυοκέφαλον* ex App. eiectum vellem: ipsa mali natura considerata patet cum muris scilicet capite conferri minime id posse.

propter tumorem: malum autem est insanabile: nonnulli filo circum deligato auferre sustinent, non ut sanent, sed ne magis magisque volumine augeatur.

Cap. XXXIII.

De suffusione.

Suffusio (Graece ὑπόχυσις) est, quum inter membranam uviformem et corneam humor pituitosus et crassus, quasi returbidus, coagulatus est et pupillam obfuscat nec cernere sinit: qui hoc morbo laborant initio culices vident. Curatur vero punctione, non principio, sed postquam aliquamdiu perstiterit: fallacia vero malo isti haec est: nimirum ipse subinde oculus nihil patitur, sed a ventriculo vapores adscendunt et culices faciunt: quod ubi fit oculus non est tangendus, sed stomachi ratio habenda est et adhibenda picra Galeni.

Cap. XXXIV.

De pupilla nimis late patente.

Pupillae iusto maior amplitudo malum est ipsum, sed vocatur etiam mydriasis, quum amplior facta pupilla visum laedit: oritur autem e siccitate et morbus insanabilis est: sunt qui punici mali succum instillent et verbo adstringentia omnia.

Cap. XXXV.

De glaucosi.

Glaucosis est, ubi crystallinus humor veluti coagulatus est et albidior factus et visum impedit: fit autem semper in senibus, malumque sanari nequit.

αὐτοῦ. ἔςι δὲ ἀνίατον τὸ πάθος· τινὲς δὲ τολμῶσιν ἀπολινοῦν αὐτὸ, οὐχ ἵνα ἰάσωνται, ἀλλ' ἵνα μὴ ἐπιπλέον αὐξηθῇ.

Κεφ. λγ'.

Περὶ ὑποχύσεως.

Ὑπόχυσίς ἐςιν, ὅταν μεταξὺ τοῦ ῥαγοειδοῦς χιτῶνος καὶ κερατοειδοῦς φλεγματῶδες καὶ παχὺ ὑγρὸν συςῇ, ὥσπερ θολερὸν, καὶ σκοτώσῃ τὴν κόρην καὶ μὴ ἐάσῃ βλέπειν. οἱ δὲ τοιοῦτοι κατ' ἀρχὰς βλέπουσι κωνώπια. θεραπεύεται δὲ διὰ παρακεντήσεως, οὐ κατ' ἀρχὰς, ἀλλ' ὅταν χρονίσῃ· ἔχει δὲ ἀπάτην τὸ πάθος τοῦτο. ἔςι γὰρ ὅτε αὐτὸς μὲν ὁ ὀφθαλμὸς οὐδὲν ἔχει, ἀπὸ δὲ τῆς γαςρὸς ἀτμοὶ ἀναφέρονται καὶ ποιοῦσι κωνώπια· καὶ δεῖ τότε μὴ ἅπτεσθαι τοῦ ὀφθαλμοῦ, ἀλλὰ φροντίζειν τῆς γαςρὸς καὶ παρέχειν τὴν πικρὰν Γαληνοῦ.

Κεφ. λδ'.

Περὶ πλατυκορίας.

Πλατυκορία ἐςὶ τὸ πάθος, (λέγεται δὲ καὶ μυδρίασις) ὅταν ἡ κόρη γίνηται πλατυτέρα καὶ βλάψῃ τὴν ὅρασιν· γίνεται δὲ ἐπὶ ξηρότητι καί ἐςιν ἀνίατον τὸ πάθος· τινὲς δὲ ἐγχυματίζουσιν αὐτῷ χυλὸν ῥοιᾶς καὶ ἁπλῶς πάντα τὰ ςύφοντα.

Κεφ. λε'.

Περὶ γλαυκώσεως.

Γλαύκωσίς ἐςιν, ὅταν τὸ κρυςαλλοειδὲς οἷον παγῇ καὶ λευκότερον γένηται καὶ βλάψῃ τὴν ὅρασιν· γίνεται δὲ ἐπὶ τῶν γερόντων συνεχῶς καί ἐςιν ἀνίατον τὸ πάθος.

Cap. XXXVI.

De confusione, σύγχυσιν Graece dicunt.

Confusio (σύγχυσις) est, quum oculi humores secum invicem veluti misti sunt et confusi: hoc etiam malum est insanabile.

Cap. XXXVII.

De collapsu, σύμπτωσιν vocant.

Collapsus (συμπτωσις) contrarius est pupillae maiori amplitudini (πλατυκορίᾳ); fit autem ubi pupilla propter debilitatem collabitur et angustior redditur.

Cap. XXXVIII.

De paremptosi.

Paremptosis est, quando in nervum opticum humor incidit et spiritum opticum solvit et intercipit: signum habet quod, nil patiente oculo, non vident. Curatur purgationibus et pituitae expulsione et tenui victus ratione.

Cap. XXXIX.

De nyctalope.

Nyctalops dicitur, quum interdiu visus obscurus est, noctu vero veluti vespere, antequam lychni accen-

1) In MS. *γυμνῶς* legitur. Ex Aëtio VII. cap. 50. *ὑγρόν* dedi: ibi enim de amaurosi: *τῆς δὲ ἀθρόως συμπιπτούσης ἢ ἔμφραξίς ἐςι τοῦ ὀπτικοῦ νεύρου, παχέων καὶ γλισχρῶν ὑγρῶν ἐμπεσόντων ἐν αὐτῷ ἀθρόως, ἢ παράλυσις αὐτοῦ τοῦ νεύρου.* — Steph. *Thes.* Lond. p. 7608. A.

Κεφ. λς'.

Περὶ συγχύσεως.

Σύγχυσίς ἐςιν, ὅταν τὰ ὑγρὰ τοῦ ὀφθαλμοῦ οἷον μιχθῇ ἀλλήλοις καὶ συγχυθῇ· ἔςι δὲ καὶ αὐτὸ ἀνίατον.

Κεφ. λζ'.

Περὶ συμπτώσεως.

Ἡ σύμπτωσις ἐναντία ἐςὶ τῇ πλατυκορίᾳ, ὅταν συμπίπτῃ καὶ ςενῶται ἡ κόρη δι' ἀτονίαν· ἔςι δὲ σπάνιον τὸ πάθος καὶ ἀνίατον.

Κεφ. λη'.

Περὶ παρεμπτώσεως.

Παρέμπτωσίς ἐςιν, ὅταν εἰς τὸ νεῦρον τὸ ὀπτικὸν [1] ὑγρὸν ἐμπέσῃ καὶ λύσῃ καὶ ἐμφράξῃ τὸ ὀπτικὸν πνεῦμα· ἡ δὲ σημείωσις· μηδὲν ἔχοντος τοῦ ὀφθαλμοῦ οὐχ ὁρῶσιν· ἡ δὲ θεραπεία διὰ καθαρσίων καὶ ἀποφλεγματισμοῦ καὶ τῆς λεπτῆς διαίτης.

κεφ. λθ'.

Περὶ νυκτάλωπος.

Νυκτάλωψ λέγεται, ὅταν τὴν ἡμέραν ἀμβλυωπῶσι, τὴν δὲ νύκτα οἷον πρὸ λύχνων καλῶς ὁρῶσι· γίνεται δὲ

[1] » At in VV. LL. annotatur παρέμπτωσιν esse proprie medicis, cum humor aliquis in meatum, qui in oculum videndi facultatem defert vase vel rupto vel aperto incidit, ac eundem obturat."

duntur, bene vident. Fit autem propter imbecillitatem et parcitatem optici spiritus et adstringentia instillanda sunt. Sunt qui contra nyctalopa dicant quum noctu ante lychnos nihil omnino vident: quod fit densato spiritu optico: quapropter nonnulli instillant vel illiniunt succum porri cum melle.

Cap. XL.

De ectropio.

Ectropium est, quando palpebrae, imprimis inferioris, cartilago ex ulceratione in carnis molem excrevit: manu autem illi medentur.

Cap. XLI.

De hydatidibus.

Hydatis est, quum palpebra superior multum pinguedinis alens in volumen insigne adaucta oculos premit: fit hoc in pueris et resectione curatur.
2) Apud AËTIUM II. 130. et PAULUM I. 82. habemus *πέρδικος καὶ ἀτταγῆνος καὶ περιςερᾶς*. Noster diminutiva frequentissime usurpans *ταγηνάριον*, quod vulgo dicitur, voluit, sed *τραγινάριον* dixit, DUC. tamen *ταγηνάριον* e nostro citat. App. p. 181.

ἕως ἂν πεφθῇ καὶ διακαταῤῥυῇ εἰς τὰ κάτω. καὶ γὰρ εἰ καὶ μικρὸν οὑτινοσοῦν προσμιγείη, τοῦτο αὐτό τε διαφθείρεται καὶ τὸ ἐπ᾽ αὐτῷ προσληφθέν. καλὸν οὖν ἐϛιν ἐκ πρωΐας πίνειν τοῦτο εὐθὺ μέλγητον καὶ ἀσιτεῖν ἐπ᾽ αὐτῷ ἡσυχῇ περιπατοῦντα. καταρχὰς μὲν γὰρ κινεῖ τὴν κοιλίαν καὶ μετὰ τοῦτο τρέφει μάλιϛα καὶ οὐκέτι διαχωρεῖ ἀλλ᾽ ἵστησι τὰ ἔντερα. Μετὰ δὲ τὸ γάλα εὔχυμά εἰσι καὶ τὰ ὠὰ τῶν ὀρνίθων, τὰ τρομητὰ, ἤγουν τὰ ῥοφητὰ, [1] χείρονα δὲ τὰ τῶν χυτρῶν. Κρέατα δὲ εὔχυμα πρὸ πάντων ὄρνιθος οἰκιδίας καὶ φασιανοῦ καὶ οἱ ὄρχεις τῶν ἀλεκτορίων καὶ ἀπὸ τῶν λοιπῶν πετομένων, πέρδικός φημι [2] τραγιναρίου, περιϛερᾶς, κίχλης, κοσσύφων καὶ τῶν μικρῶν ϛρουθίων, ἐν οἷς εἰσιν οἱ [3] τρωγλῖται. Σκληρότερα δὲ τούτων καὶ δυσπεπτότερα καὶ νευρωδέϛερα τὰ τοῦ ταὼ καὶ τῆς τρυγόνος καὶ ἔτι τούτων σκληρότερα τὰ τῆς φάττης καὶ τῆς νήσσης καὶ τοῦ γεράνου· περιττωματικώτερα δὲ τὰ τῶν χηνῶν καὶ κύκνων καὶ [4] ὠτίδων. Τούτων δ᾽ αὐτῶν εὐχυμότερά εἰσι τὰ τῶν ἔτι αὐξανομένων, βλαβερὰ δὲ τὰ παλαιὰ [5] καὶ τὰ νεαγενῆ δὲ τούτων αὐτῶν. κάλλιϛα ὄρνιθες οἰκίδιαι καὶ περιϛεραὶ αἱ κατ᾽ αἰρῶν διαιτώμεναι· καθόλου δὲ τὰ

3) Paulus l. l. ἐν οἷς εἰσιν καὶ οἱ πυργῖται. — Aëtius: καὶ τῶν μικρῶν ϛρουθίων, καὶ τῶν πυργίδων (sic). — Hunc ex illo emendes. — Τρωγλίτης et πυργίτης ergo eadem avis? Conf. Du Cang. ad illam vocem.

4) MS. ὑτίδων de scriptura οὐτίδων et ὠτίδων Gal. *de Alim. Facult.* III. 20.

5) MS. καὶ τὰ νεαγενῆ δὲ τούτων αὐτῶν κάλλιϛα. ὄρνιθες οἰκήδιαι κ. τ. λ. Haec lectio propterea constare nequit quod iuniorum animalium carnes περιττωματικαί dicuntur. Cf. Gal. *de Alim. Fac.* III. 19. Hinc interpunctionem mutavi.

carnes praebent aves domesticae et columbae in lolio degentes: in universum quae corpus exercent animalia et siccioribus alimentis vescuntur et aërem spirant purum et tenuem contrariis praestant (i. e., humidiora alimenta sumentibus, et corpus non exercentibus); tamen his quoque, modo tenerrimam habeant carnem, ad satietatem usque vesci licet. E quadrupedibus agninis praestant hoedi: magis nocent quae cum pelle coquuntur. E piscibus vero marini et saxatiles, in quibus etiam qui e mare capitur mugil et lupus: tum etiam cartilaginei et gobiones et mustelae, ceterique huius generis, excepto quod duriores sunt triglae maiores. Inter boni et mali succi pisces intermedii sunt targi, buglossi, soleae; et in universum illi pisces sunt saluberrimi, qui viscidi et una iniucundi quid ad gustum habent.

---

1) MS. *τῶν ἀειμνάςωντων μέντι τιούτων ἢ καὶ μάλιςα μαλακὴν ἐχὶ τὴν σάρκα καὶ οἷς κορωνετίην.* Locum restituere non potui nisi collato Aëtii cap. 238. II. ubi: *ἔχεις δὲ γνωρίσματα πάσης ζώου σαρκὸς, τό τε ψαφαρὸν καὶ τὸ μαλακόν· οἷς μὲν γὰρ ἂν ὑπάρχῃ τὸ συναμφότερον εἰς κόρον ἐσθίειν. οἷς δὲ θάτερον μοῦνον εσθίειν μέν ποτε, φυλάττεσθαι δὲ εἰς κόρον.* Haec quidem maximam difficultatem *οἷς κορωνετίην* sublevarunt Ad *ἀγυμνάςων* et locum universum cf. Gal. *de Alim. Fac.* III. 14.

2) *Ἐκεῖθεν* i. e. ex mari: distinguunt duas species marinum et fluviatilem: illum praeferunt. Cf. Gal. *de Alim. Fac.* III. 25. Aëtium II. 137.

3) MS. *λωβιοί.* Licere mihi credidi *κωβιοί* corrigere; cf. Gal. *de Alim. Fac.* III. 29. Aëtium II. 141. Sethi p. 60. cet.

4) Vulgo *γαλέαι*: infra cap. 14. *κοβία* pro vulgato *κώβιοι*: Sunt hae quoque formae deminutivae.

γεγυμνασμένα καὶ τὰ ξηροτέραις τροφαῖς χρώμενα καὶ τὰ καθαρὸν καὶ λεπτὸν ἀναπνέοντα τὸν ἀέρα βελτίονα τῶν ἐναντίων, (τουτέςι τῶν ὑγροτέραις τροφαῖς χρωμένων καὶ [1] τῶν ἀγυμνάςων), τῶν μέντοι τοιούτων εἰ καὶ μάλιςα μαλακὴν ἔχει τὴν σάρκα καὶ εἰς κόρον ἐσθίειν. Τῶν δὲ πεζῶν τῶν ἀρνείων κρείττους εἰσὶν ἔριφοι· βλαβερώτερα τὰ μετὰ τοῦ δέρματος ἑψόμενα. Ἰχθύων δὲ οἱ πελάγιοι καὶ πετραῖοι, ἐν οἷς ἐςι καὶ [2] ὁ ἐκεῖθεν κρατούμενος κέφαλος καὶ ὁ λάβραξ· ἔτι τε καὶ τὰ σελάχια καὶ [3] κωβιοὶ καὶ [4] γαλία καὶ οἱ ἐφεξῆς τούτων πλὴν ὅτι σκληρότεραί εἰσιν αἱ μεγάλαι τρίγλαι. μέσοι δὲ εὐχύμων καὶ κακοχύμων εἰσὶν οἱ [5] θάργοι, βούγλωσσα, [6] ψισσίον. καὶ καθόλου [7] τῶν ἰχθύων κάλλιςοι, ὅσοι μὲν γλισχρότητά τινα καί τινα μέν γε ἀηδίαν ἔχουσιν ἐν τῇ γεύσει.

---

5) Nomen θάργος de pisce frustra quaesivi. — Σάργον habet Arist. *Hist. An.* VI. 16. — Suspicor tamen loco nostro τάργοι pro τράγοι legendum esse. cf. Plinium XXXII. cap. ult. Athen. VIII. 2.

6) Βούγλωττα et ψῆττα a Gal. una nominantur cap. 30. lib. III. *de Alim. Fac.* ubi hae species inter se admodum similes dicuntur. — MS. ψισίων dat: quin ψῆττα significetur nullus dubito: itaque ψῆττα, ψῆσσα, ψησσίον, ψισσίον et ψηττίον, ψιττίον cf. Steph. *Thes.* Lond. in ψῆσσα p. 10862. C.

7) MS. τῶν οἰχθοίων κάλοιςιόσι μὲν στληχρότητα τινα μέν τε αἰδίαν ἔχουσην ἐν τῇ γεύσῃ. Dedi quod mihi verosimillimum videbatur. De coniectura καί τινα interposui, credens γλισχρότητά τινα καί τινα μέν γε ἀηδίαν voluisse auctorem: nimirum γλισχρότητα tantum commendari potuisse opinor, ubi modum non excederet. — Forte pro ἀηδίαν voluit εὐηδίαν: talia saepius permutantur.

E quadrupedibus animalibus carnes tenerorum porcellorum, v. c. unum annum natorum et eorum qui nondum biennes sunt, et mammae et pedes: his deteriores nares et aures: ferorum animalium carnes praestantiores quam domesticorum. Panis purus et bene paratus, alica, triticum mola haud ita subtiliter comminutum, hordeum decorticatum et bene coctum. E leguminibus fabae, e fructibus ficus maturae et maturae uvae brevi tempore suspensae; caricae brevi a ventriculo subactae boni succi sunt, sed in ventriculo remorantes malum succum gignunt: cum nucibus vero comestae praestantissimae: quicumque vero cum alio quodam cibo ficus et caricas comedunt, non leviter laeduntur: castaneae non mali sunt succi, nisi quod difficulter digeruntur, sed cocta facile subiguntur. E quibus unguenta fiunt, ex his thus, pistacia et amygdalae. Ex oleribus lactuca et dein intybus. E vinis autem quae boni odoris sunt et facile digeruntur.

---

1) Du Cangius h. l. citat in voce *μαςάριον* in Appendice: legit autem: *καὶ μήπω τὴν διαιτίαν πληρώσαντα· καὶ ταμαςάρια, καὶ οἱ πόδες, τούτων τὰ χείρονα αἱ ῥῖνες καὶ ὦτα.* — En locum, qualem in schedis meis lego: *καὶ τὰ μίπω διετίας πληρώσαντες καὶ ταμαςάρια καὶ ὑπώδες τοῦδε χοιραις αἱ ῥῖνες καὶ ταῦτα.* — Dedi quod salvo sensu ad cod. lectionem proxime accedit.

2) MS. *δε πωρῶν* (sic) plur. num. infra etiam obvius in cap. *ὅσα λεπτύνει*, quem locum cf. Nimirum collato illo loco *ὀπωρῶν* dedi; possit ceterum forsitan *πωρῶν* servari cf. Du C. p. 1051. *ὀπωρικόν*, *πωρικόν*.

3) cf. Meursium et Du Cang. in *κρεμαςεῖν*.

Τῶν δὲ πεζῶν ζώων αἱ σάρκες τῶν τρυφερῶν χοιριδίων, οἷον τὰ ἐνιαύσια [1] καὶ τὰ μήπω διετίαν πληρώσαντα, καὶ τὰ μαςάρια καὶ οἱ πόδες· τοῦδε χείρους αἱ ῥῖνες καὶ τὰ ὦτα. τῶν δὲ ἀγρίων ζώων ἡ σὰρξ εὐχυμοτέρα τῶν ἡμέρων. Ἄρτος καθαρὸς καὶ καλῶς ἐσκευασμένος· χόνδρος (σίων), σῖτος ἁδρομερὴς ἀληλεσμένος, κριθαὶ ἀπολεπισθεῖσαι καὶ καλῶς ἑψηθεῖσαι. Τῶν δ' ὀσπρίων κύαμοι, τῶν [2] δ' ὀπωρῶν σῦκα ὥριμα καὶ ςαφυλαὶ ὥριμοι [3] κρεμαςοῦσαι ἐπ' ὀλίγῳ· [4] ἰσχάδες ταχὺ μὲν πεφθεῖσαι εὔχυμοι, χρονίσασαι δ' ἐν τῇ γαςρὶ κακόχυμοι γίνονται, μετὰ δὲ καρύων ἐσθιόμεναι κάλλιςαι, ὅσοι δὲ μετ' ἄλλου τινὸς τῶν ἐδεσμάτων ἐσθίουσι τὰ σῦκα καὶ τὰς ἰσχάδας οὐκ ὀλίγα βλάπτονται. τὰ κάςανα οὐ κακόχυμα πλὴν δύσπεπτα, ἑφθὰ δὲ γενόμενα εὔπεπτα. [5] ἐκ ὧν δὲ ἀλλιματων δὲ λαβάνι πιςακὶ καὶ ἀμύγδαλα. Τῶν δὲ λαχάνων μαιούλια καὶ μετὰ ταῦτα ἴντυβα. τῶν δὲ οἴνων οἱ εὐώδεις καὶ εὔπεπτοι [6].

---

4) MS. *οἰσχάδες τὰ χοὶ μὲν πευθῆσαι ὡροιμοι χρονίσασθαι δὲ ἐν τῇ γαςροὶ κακόχυμοι γήνονται.* Refeci secundum Aëtium lib. II. cap. 250. in quo itidem *χρονίσασαι* emendandum est. — Pro *ωροιμοι* ex Aëtii loco *εὔχυμοι* dedi, antithesi id flagitante.

5) Locum hunc pluribus modis tentavi: iam vero mihi probabilis maxime emendatio haec est: *ἐξ ὧν δὲ ἄλειμμα τῶν δὲ λίβανον, πιςάκια καὶ ἀμύγδαλα.*

6) h. l. sequuntur in MS. quaedam ad caput *ὅσα ῥύπτει, τέμνει καὶ ἐκφράττει* transferenda mihi visa, ubi vid. sub finem.

Cap. VI.

Quae facile concoquuntur.

Facile concoquuntur panes bene parati i. e. qui in fermentatione bene emolliti sunt, et bene cocti, quique salis quantitatem idoneam et massae farinaceae et aquae acceperunt. Omnium volucrum carnes veluti perdicis, attagenis, columbae, galli gallinacei et phasiani: facile quoque digeruntur alae anserum: imprimis etiam digestu faciles carnes pinguium et iuniorum animalium, pessimae vero emaciatorum et vetustiorum, et iecur porcellorum lacte ebutyrato enutritorum, similique modo enutritarum volucrum testiculi: e bubulis optimae vitulinae, ex caprinis haedinae, harumque ipsarum eae quae sumuntur ab animalibus in siccis locis degentibus. Et ex oleribus malva, cucumis in coctione aqua fervida elixus, nux avellana et vina dulcia ante cibum epota praestantiora quam austera. Unumquodque vero iucunde comestum melius digeritur quam quod iniucunde.

Cap. VII.

Quae difficulter concoquuntur.

Carnes caprinae, bubulae, cervinae: his vero peiores hircinae, dein arietinae: omniaque animalia vetustiora concoctu difficilia eorumque partes, veluti crura, intestina, uterus, cor, iecur, aures, renes, viscera omnia, cerebrum, cauda et adultorum anima-

---

1) Forte *ἀλεκτορίωνος* a nom. *ἀλεκτορίων* quam formam in Lexicis non inveni.

Κεφ. ϛ'.

Ὅσα εὔπεπτα.

Εὔπεπτοί εἰσιν ἄρτοι οἱ καλῶς σκευασθέντες ἐν τῇ ζυμώσει καὶ οἱ καλῶς ὀπτηθέντες καὶ ἁλῶν καὶ φυράματος καὶ ὕδατος δεξάμενοι συμμέτρως. Πάντων δὲ πτηνῶν ἡ σὰρξ οἷον πέρδικος, τραγινάριον, περιςερᾶς, [1] ἀλεκτωρίωνος καὶ φασιανοῦ. εὔπεπτα καὶ τὰ πτερύγια τῶν χηνῶν· εὔπεπτα καὶ μάλιςα τῶν πίων καὶ νέων, τῶν δὲ ἰσχνῶν καὶ γεγηρακότων χείριςα, καὶ τῶν σιτευθέντων διὰ τυρογάλακτος χοιρίων τὸ ἧπαρ, καὶ τῶν ὁμοίως τραφέντων πεπεινῶν οἱ ὄρχεις. κάλλιςοι δὲ τῶν βοῶν οἱ μόσχιοι καὶ τῶν αἰγῶν οἱ ἔριφοι καὶ τούτων αὐτῶν ὅσοι βόσκονται ἐν ξηροῖς τόποις. καὶ τῶν λαχάνων μαλάχη, κολοκύνθη, ἐκζέστη, ὅταν πεφθῇ. Τὸ λεπτοκάρυον καὶ οἱ γλυκεῖς οἶνοι ἔμπροσθεν πινόμενοι καλλίω τῶν αὐςηρῶν· ἕκαστον δὲ τῶν ἡδέως ἐσθιομένων εὐπεπτότερον τοῦ ἀνηδόνου.

Κεφ. ζ'.

Ὅσα δύσπεπτα.

Αἴγεια κρέα, βόεια, ἐλάφεια· χείρονα δὲ τούτων τὰ τράγεια, ἑξῆς δὲ τὰ τῶν κριῶν, εἶτα τῶν ταύρων· καὶ πάντα τὰ παλαιὰ ζῶα δύσπεπτα καὶ τὰ τούτων μόρια, οἷον σκέλεα, ἔντερα, μήτρα, καρδία, ἧπαρ, ὦτα, νεφροὶ, σπλάγχνα πάντα, ἐγκέφαλος, [2] οὐρὰ καὶ τῶν τε-

2) In Aëtio alio ordine ὦτα, οὐρὰ, νεφροὶ, ἐγκέφαλος, νωτιαῖος μυελὸς καὶ οἱ τῶν τ. ζ. ὀ. Forte in -ων vestigium habemus vocabuli alicuius omissi.

lium testes. Et anseres exceptis alis, palumbi, turdi, merulae, durioresque parvulorum passerum carnes, et magis etiam turturis et anatis et magis pavonis carnes et avium tardarum et omnes ventriculi volucrum. Difficulter digeruntur cochleae, caseus vetustus, murex, astaci, paguri, cancri, locustae, carides, octipedes, sepiae, moschitae, [*loligines?*] calamaria, raia, leviraia, squatina, dracones, gobiones, scorpii, muli, cernuae, pagri. Ova elixa, tosta et in sartagine fricta. Triticum coctum, fabae, ervilia, faseolorum siliquae ipsique faseoli, cicerculae, cicera, oryza, lupini, sorba immatura, uva acida, omnes palmarum fructus, ceratia, citrea excepto cortice, rapum crudius, bulbi crudiores, daucus et omnes olerum radices, ipsaque olera omnia excepta lactuca et intybo, et vina crassa difficulter digeruntur et nova et imprimis aqua.

Cap. VIII.

Quae stomacho amica eumque corroborant.

Magis adstringentes palmarum fructus, mala cydo-

---

1) MS. *μοσχύται* Du Cang. in App. ad Gloss. p. 135. ex h. l. et cap. *ὅσα γλισχροὺς χυμοὺς γεννῶσι. μοσχίτης* citavit. — In cap. isto ad *τὰ μαλάκια* refertur. In Aëtio habemus *πολύποδες· σηπίαι· τευθίδες.* Licetne hinc efficere idem esse animal *μοσχίτην* et *τευθίδα?* — *τευθίς* certe ad *τὰ μαλάκια* pertinet, aeque ac *μοσχίτης* ad ea refertur.

2) Aëtius *δράκοντες* legit: deminutivum h. l. de pisce quin intelligendum sit non dubito: quum noster ista nomina omnino sectetur.

λείων ζώων οἱ ὄρχεις. καὶ αἱ χῆνες πλὴν τῶν πτερυγων, φάσσαι, κίχλαι, κόσσυφοι καὶ αἱ τῶν μικρῶν ϛρουθίων σάρκες σκληρότεραι, καὶ ἔτι μᾶλλον τρυγόνος καὶ νήσσης καὶ πλέον ἡ τοῦ ταὼ καὶ αἱ τῶν ὠτίδων καὶ αἱ κοιλίαι πᾶσαι τῶν πτηνῶν. δύσπεπτοι οἱ κοχλίαι, τυρὸς παλαιὸς, κογχύλη, ἀϛακοὶ, παγουρία, καρκίνοι, καραβίδες, καρίδες, ὀκτάποδες, σηπίαι, [1] μοσχῖται, καλαμάρια, βάτοι, λειόβατοι, ῥῖναι, [2] δρακόντιον, [3] κοβίδια, σκορπίδια, τρίγλαι, [4] ὄρφοι, φάγρια. ὠὰ ἔκζεστα, ὀπτὰ καὶ ταγηνιϛά· σῖτος ἑφθὸς, φάβα, [5] αὗχος, λόβοι τῶν φασουλίων [6] καὶ αὐτά, λάθυρις, ἐρέβινθος, ὄρυζα, θερμία, σοῦρβα ἄωρα, ϛαφυλὴ ὀξύνη, φοίνικες πάντες, ξυλοκέρατα, κίτρον πλὴν τοῦ φλοίου, γογγυλὶς ὠμοτέρα, βολβοὶ οἱ ὠμότεροι, δαῦκος καὶ πᾶσαι αἱ ῥίζαι τῶν λαχάνων, καὶ αὐτὰ δὲ τὰ λάχανα, πάντα πλὴν μαιουλίων, καὶ ἰντύβου, καὶ τῶν οἴνων οἱ παχεῖς καὶ νέοι δύσπεπτοι καὶ τὸ ὕδωρ πάνυ.

Κεφ. η′.

Ὅσα εὐϛόμαχα καὶ ῥωϛικά.

Φοίνικες οἱ ϛυφώτεροι, μῆλα κυδώνια, [7] ἐλαῖαι κο-

---

3) Cf. Du Cang. in κοβίδιον.

4) De ὄρφος non ὀρφός scribendo Schn. in Lex. ex Etym. M. ubi vide in ὀρφῶς. φάγρια a φάγρος, de quo vocabulo Casaub. ad Athen. p. 156.

5) *Αὗχος* in hoc libello saepius obvium, et ex hoc MS. adnotavit Du Cang. in Appendice.

6) *Καὶ αὐτά* i. e. καὶ αὐτὰ τὰ φασούλια. Cf. Gal. *de Alim. Fac.* I. 28.

7) Cf. Dioscor. I. 138. Gal. *de Alim. Fac.* II. 27. Athen. II. 47.

nia, olivae muria conditae et magis cum aceto compositae, uvae passae austerae, uva in fossis condita, nuces cum caricis, sinapi, raphana, rapa cocta, nasturtium, Eleodaphnia, bulbi, qui quodammodo appetitum excitant, cetri cortex, medicaminis loco sumta, vinum austerum, absinthium et aloë.

Cap. IX.

Quae ventriculo nocent.

Beta, ita ut vel morsum inferat nimis copiose sumta, rapum crudius stomacho obest, aeque atque illi prodest quod cum garo coctum est, blitum, atriplex, nisi cum aceto edatur, sesamum; lac frigidum in illis, qui frigidam habent ventriculi dispositionem acidum generat, in iis qui calidam nidorem facit: nocet febricitantibus. Pepones haud bene cocti biliosum vomitum ciet, nam vel priusquam corrumpantur ad emesin movendam sunt idonei, itidem nimis copiose sumti, nisi quis cibos boni succi insuper edat. Cerebrum ventriculum laedit et vomitum provocat, si-

---

1) MS. *ϛαφύλοι ἡ ἐντὸς τράφοις ἀποτιθέμενοι.* — Aëtius: *ἡ ἐν τοῖς ϛεμφύλοις ἀποτιθεμένη ϛαφυλή.* Nec tamen *ϛεμφύλοις* idem quod *τράφοις.* — *τράφος* i. g. *ἡ τάφρος*, *fossa*, *vallum* cf. Du Cang. in voce *ϛέμφυλα* *vinacea.* Res ita explicanda, me iudice: Gal. *de Alim. Fac.* II. 9. de uvis: *καὶ γὰρ εἰς γλεῦκος ἐμβάλλουσιν αὐτὰς καὶ χύτρας καινάς πληροῦντες ἐναποτίθενται τοῖς ϛεμφύλοις*: docet igitur novas ollas uvis repletas in vinaceis reconditas fuisse. Cf. Catonem *de Re Hist.* VII. » *In eodem fundo suum quidquid conseri oportet, arbustoque vitem copulari. Aminnaeum minusculum et ma-*

λυμβάδες καὶ μᾶλλον αἱ μετ᾽ ὄξους συντιθέμεναι· ςαφίδες αἱ ςύφουσαι· [1] ςαφυλὴ ἡ ἐν τοῖς τράφοις ἀποτιθεμένη. κάρυα μετ᾽ ἰσχάδων, σίνηπι, ῥάφανα, γογγύλια ἑφθὰ, κάρδαμα, ἐλαιοδάφνια, βολβοὶ, οἵ τι καὶ ὄρεξιν ἐμποιοῦσι, τοῦ κίτρου ὁ φλοιὸς ὡς βοήθημα λαμβανόμενα, οἶνος ὁ ςυφὸς, ἀψίνθιον καὶ ἀλωή.

Κεφ. θ′.

Ὅσα κακοςόμαχα.

Σεῦτλον, ὡς καὶ δηγμὸν ἐμποιεῖν ὅταν πλέον βρωθῇ, γογγύλιν τὸ ὠμότερον κακοςόμαχον, ὡς καὶ τὸ γάρῳ ἑψόμενον εὐςόμαχον· βλίτον, χρυσολάχανον, ἐὰν μὴ μετ᾽ ὄξους καὶ ἐλαίου βρωθῇ, σήσαμον. γάλα ψυχρὸν τοὺς μὲν ἔχοντας ψυχρὰν διάθεσιν τῆς κοιλίας ὀξύνειν ποιεῖ, τοὺς δὲ θερμὴν κνισσοῖ· βλαβερόν ἐςιν ἐν τοῖς πυρέσσουσιν. πεπόνια μὴ καλῶς πεφθέντα χολερικοὺς [2] ἀποτελεῖ. καὶ γὰρ καὶ πρὶν διαφθορεῖν εἰς ἔμετον ἐπιτήδειά εἰσιν, καὶ πλείω βρωθέντα, ἐὰν μή τις αὐτοῖς τῶν εὐχύμων ἐδεσμάτων ἐπιφάγῃ. ἐγκέφαλος καὶ κακοςόμαχος, καὶ εἰς ἔμετον παρορμᾷ, ὥσπερ καὶ τῶν ὀςῶν μυε-

---

iusculum et Apicium. Haec in ollis, ollae in vinaceis conduntur." Haec bene habent. Ubinam vero ista vinacea servabantur? Id, ni fallor, noster docet: nimirum in τράφους coniecta fuisse videntur, indeque explicanda dictio ςαφυλὴ ἡ ἐν τοῖς τράφοις ἀποτιθεμένη. Huc facere videntur duo loci Hesychii. Σιροῖς. ὀρύγμασιν ἐν οἷς κατετίθεντο τὰ σπέρματα. et imprimis Σιρούς. — τάφρους ἐσκεπασμένους. Cf. Etymol. M. v. Σιρός.

2) MS. ἀπόπατι. — Aëtius: χολερικοὺς ἀποτελεῖν εἴωθε, unde emendavi.

cuti et ossium medulla: vinum nigrum et austerum facile acescit et vomitum ciet, item crassum ac novum.

Cap. X.

Quae detergent, secant, et obstructiones adimunt.

Hordeum, foenograecum, melopepo, uvae passae dulces, fabae, cicera et imprimis nigra, capparis, praesertim quae cum oxymelle vel aceto cum oleo ante alios cibos comeditur, betae succus ipsaque beta, quando cum sinapi vel aceto sumitur, rumex, bulbi, cepae, allium, porrum bis vel ter cocta acerbitatem exuunt. Similiter attenuat serum; detergunt et ficus, quo fit ut arena multa in renum morbo laborantibus quum eas comedunt excernatur; caricae, amygdalae, pistacia, crambe, mel, oxymel, vina tenuia: sin autem frigidi simul sunt humores vina sint tum vetusta tum aquosa. Quodsi obturatio adest aqua gari iusculorum sumatur et vina generosa tenuia et alba: allium et cepae cocta: et pro condimento imprimis hyeme adiicienda piper, origanum, thymbra, pulegium, sinapi, eruca, apium, petroselinum, ra-

---

1) MS. *τιλὶ* dedit. Vulgata forma, est *τῆλις*; noster h. l. *τιλὶ* et infra bis *τήλοι*: unde efficias eum *τήλη* voluisse.

2) MS. *μιλαπέπων*. cf. Aëtium 258. II.

3) *Ἔμπροσθεν* i. e. *πρὸ τῶν ἄλλων ἁπάντων σιτίων*, ut habet Aëtius.

4) Quae h. l. in capite nostro sequuntur, usque ad finem, e cap. 5. huc transtuli, cf. notam 6. p. 243.

5) MS. *θρύβον*, quod fortasse retineri potuisset: vide *θρύβη* apud Du Cang. in *θρύμβη*. *Θρύμβον* praetuli collato

λός. οἶνος ὁ μέλας καὶ ςυφὸς εὐκόλως ὀξίζει καὶ εἰς ἔμετον ὁρμᾷ καὶ ὁ παχὺς καὶ ὁ νέος.

Κεφ. ι'.

Ὅσα ῥύπτει, τέμνει καὶ ἐκφράττει.

Κριθὴ, [1] τήλη, [2] μηλοπέπων, ςαφίδες γλυκεῖαι, φάβα, ἐρέβινθοι καὶ μᾶλλον οἱ μέλανες, κάππαρις, καὶ μᾶλλον ἡ δι' ὀξυμέλιτος ἢ ὀξελαίου [3] ἔμπροσθεν ἐσθιομένη, σεύτλου χυλὸς καὶ αὐτὸ τὸ σεῦτλον, ὅταν μετὰ σινήπεως ἢ ὄξους ἐσθίηται, λάπαθον, βολβοὶ, κρόμμυα, σκόροδα, πράσα ἑψηθέντα δὶς ἢ τρὶς ἀποτίθενται τὴν δριμύτητα· λεπτύνει δὲ ὁμοίως τυρόγαλα· καὶ σῦκα ῥύπτει, διὸ καὶ ψαμίθα οὖσα πολλὴ τοῖς νεφριτικοῖς ἐσθίουσι ταῦτα ἐκκρίνεται. ἰσχάδες, ἀμύγδαλα, πιςάκια, κράμβη, μέλι ὀξύμελι· οἱ λεπτοὶ τῶν οἴνων· ἂν δὲ καὶ ψυχροὶ τυγχάνωσιν οἱ χυμοὶ, ἔςωσαν καὶ παλαιοὶ καὶ ὑδατώδεις οἶνοι. [4] Ἐμφράξεως δὲ συμβαινούσης λαμβάνειν τὸ ὕδωρ γάρου τῶν ζωμῶν· καὶ τῶν οἴνων τοὺς καλοὺς καὶ λεπτοὺς καὶ λευκούς· τὰ σκόροδα καὶ τὰ κρόμμυα ἑφθά· καὶ ὡς ἄρτυμα καὶ μάλιςα κατὰ τὸν χειμῶνα βάλλειν πέπερι, ὀρίγανον, [5] θρύμβον, βλυσκούνην, σίνηπι, εὔζωμον, σέλινα, πετροσέλινα, ῥάφανα, ἡδύοσμον, [6] πεντάρτυ-

---

eodem in Append. in eadem voce, ubi vide Eustathii locum.

6) h. l. Du Cangii error notandus, qui πεντάρτυμα vertit in App. *compositio s. confectio medica e quinque speciebus*; locum adfert seq. καὶ ὅσα διὰ σπερμάτων σκευάζεται, ἐν οἷς εἰσέρχεται πεντάρτυμα καρναβάδην, βλησκούνην καὶ ὅσα τοιαῦτα. — Ex his aeque ac loco nostro patet πενράρτυμα plantae nomen esse. Fortasse menthae species. Planta certe bene fragrans.

phana, mentha, pentartyma, anethum, cyminum, anisum, daucus, omnia ista condimenta habenda ciborum acrium.

Cap. XI.

Quae obturant.

Lac parum seri habens haud tuto magna copia sumitur, quippe renes laedit et duros reddit: iecur etiam obturant caricae et ficus post cibum sumtae mixtae vero cum origano vel hyssopo vel pipere, et ante cibum alium comestae non parvam utilitatem adferunt. Aqua mulsa non convenit iis, qui viscerum morbis laborant: palmulae virentes et quaecumque liborum nomine veniunt et e similagine parantur obstruunt et lienem volumine augent, et calculos generant: itidem farina triticea cum lacte, etiam vinum dulce obturat et viscerum volumen auget.

Cap. XII.

Quae alvum ducunt.

Lentis dum coquitur decoctum primum, ac praecipue conditum oleo vel garo, et iusculum testa coopertorum animalium, veluti astacorum et pagyrorum et id genus aliorum. Nam si haec decoxeris et decoctum olei vel gari ope, sicuti dictum est, et piperis condiveris iis prodest, qui alvum laxam habent; imo vero etiam iuscula echinorum marinorum et con-

μα, ἄνηθον, κύμινον, ἄνισον, δαῦκον. ταῦτα πάντα ἀρτύματα ἔχειν τῶν δριμειῶν τροφῶν.

Κεφ. ια'.

Ὅσα ἐμφράττει.

Γάλα τὸ ἔχον ὀλίγον τυρόγαλα οὐκ ἀσφαλές ἐςι τοῖς ἐν αὐτῷ πλεονάζουσιν, ὡς βλάπτειν (καὶ) νεφροὺς καὶ σκληροὺς ποιεῖν· ἐμφράττει καὶ τὸ ἧπαρ ἰσχάδες καὶ σῦκα ἐπὶ τῇ τροφῇ λαμβανόμενα· μιγνύμενα δὲ ὀριγάνῳ, ἢ ὑσσώπῳ, ἢ πεπέρι καὶ ἐσθιόμενα ἔμπροσθεν οὐ μικρὰν ὠφέλειαν ἔχουσιν. εὐκρατόμελι ἀνεπιτήδειον τοῖς κακοσπλάγχνοις· φοίνικες οἱ χλωροὶ καὶ ὅσα δι' ἰτρίων καὶ σεμιδάλεως σκευάζονται ἐμφρακτικὰ καὶ σπληνὸς αὐξητικὰ, καὶ λίθων ποιητικὰ ὁμοίως. καὶ ἄλευρα μετὰ γαλακτὸς, καὶ οἶνος ὁ γλυκὺς ἐμφράττει καὶ τοὺς ὄγκους τῶν σπλάγχνων αὐξάνει.

Κεφ. ιβ'.

Ὅσα ὑπάγει γαςέρα.

Φακῆς τὸ πρῶτον ἀπόζεμα ἐν τῇ ἑψήσει καὶ μάλιςα ἀρτυόμενον δι' ἐλαίου ἢ γάρου. καὶ τῶν ὀςρακοδέρμων ὁ ζωμός, οἷον ἀςακῶν τε καὶ παγουρίων καὶ τῶν ὁμοίων· καὶ γὰρ ἑψήσας αὐτὰ, εἶτα ἡδύνας τὸ ἀφέψημα δι' ἐλαίου ἢ γάρου, ὡς εἴρηται, καὶ πεπέρεος ποιεῖ τοῖς εὔλυτον ἔχουσι τὴν κοιλίαν. ἀλλὰ καὶ τῶν θαλασσίων ἐχίνων καὶ τῶν κογχαρίων καὶ τῶν κοχλιῶν οἱ ζωμοὶ καὶ

charum et cochlearum et vetustorum gallorum. Panes confusanei, propterea quod plurimum furfuris continent: foenograeci iusculum prodest cum parva mellis quantitate coctum, subducit enim omnes in intestinis pravos humores. Mel autem parce admisceatur propterea quod mordet. Olivae muria conditae cum garo ante cibos comestae: serum lactis cum paucillo mellis optimi; quodsi magis alvum subducere velis succos, de quibus sermo fuit, plus salis adiiciendum erit. Iuniorum animalium carnes magis alvum subducunt, quam vetustiorum. Beta, rumex, mercurialis, eorumque decoctum cum sale: caseus recens cum melle: atriplex, blitum, cucurbita, pepones, ficus, uvae dulces succi plenae: mora pura continuo ventriculo ingesta et ante alium cibum sumta alvum ducunt, post cibum vero meliorem succum gignunt: similiter quoque corrumpuntur ubi iam malae notae humor in ventriculo adest. Idem facit quoque cucumis et nuces virentes et siccae in aqua maceratae et decorticatae. Pruna Damascena succi plena et e siccatis quae aqua mulsa macerantur vel si sola haec quis sumat; sin autem insuper aquam mulsam etiam bibat, magis alvum subducunt. His igitur vinum dulce superbibere conducit nec continuo post sumta prandere sed tempus aliquod antequam edas praetermittere Cerasa matura, mala armeniaca, persica matura omniaque succulenta et aquosa ei conducunt, cui facile alvus descendit: verum etiam pro-

---

1) *Κυβαρός* vid. apud Du Cang. infra habemus *ἄρτοι πιτυρώδεις καὶ κυβαροί.* cap. 22.

2) *Πάνυ νέων* ex Aëtio adscripsi; MS. id omittit.

τῶν παλαιῶν ἀλεκτρυόνων. Ἄρτοι [1] κυβαροὶ διὰ τὸ πλείςων μετέχειν πιτύρων, τήλεως ὁ ζωμὸς ἑψηθεὶς μετὰ μετρίου μέλιτος ἐπιτήδειός ἐςιν· ὑπάγει γὰρ τοὺς ἐν τοῖς ἐντέροις μοχθηροὺς χυμοὺς ἅπαντας· τὸ δὲ μέλι ὀλίγον ἔςω τῇ κράσει διὰ τὸ δακνῶδες. ἐλαῖαι κολυμβάδες μετὰ γάρου πρὸ τῶν σιτίων ἐσθιόμενα, τυρόγαλα μετὰ μέλιτος καλλίςου ὀλίγου. εἰ δὲ βούλει ὑπακτικωτέρους ποιῆσαι τοὺς χυμοὺς, οὓς εἴπομεν, ἅλας ἔμβαλλε πλέον. τὰ τῶν [2] πάνυ νέων ζώων κρέα τῶν παλαιῶν μᾶλλον ὑπάγει. σεῦτλον, λάπαθον, λινόζωςις καὶ τὸ ἀπόζεμα αὐτῶν σὺν ἁλσίν, νεαρὸς τυρὸς μετὰ μέλιτος, χρυσολάχανον, βλίτον, κολοκύνθη, πέπονες, σῦκα, ςαφυλαὶ γλυκεῖαι, ὅταν ὦσιν ὑγραί. συκάμινα [3] καθαρὰ ἀεὶ ἐμπεσόντα τῇ γαςρὶ καὶ πρῶτον ἐσθιόμενα ὑπάγει τὴν κοιλίαν, εὐχυμότερα δὲ ὕςερον, καὶ κακοχυμίαν εὑρόντα ἐν τῇ γαςρὶ διαφθείρεται ὡσαύτως. καὶ ἡ κολοκύνθη ὡσαύτως ποιεῖ, καὶ τὰ κάρυα τὰ χλωρὰ, καὶ τῶν ξηρῶν τὰ ἐν ὕδατι βεβρεγμένα καὶ ἀπολελεπισμένα· δαμασκηνὰ τὰ ὑγρὰ καὶ τῶν ξηρῶν τὰ εἰς εὐκρατόμελι βεβρεγμένα κἂν μόνα τις αὐτὰ φάγῃ, ἐὰν δὲ ἐπιῤῥοφήσῃ καὶ ἀπὸ τοῦ εὐκρατομέλιτος πλέον ὑπάγει· [4] οἷς ἂν γλυκὺν οἶνον ἐπιπιεῖν καὶ μὴ εὐθέως ἐπαριςῆσαι, ἀλλὰ διαλείπειν τινὰ χρόνον. κεράσια ἁπαλὰ, βερίκοκκα, ῥοδακινὰ ἁπαλὰ καὶ πάντα τὰ ὑγρὰ καὶ ὑδατώδη πρὸς τὸν ἐπιτηδείως ἔχοντα τὴν γαςέρα εἰς διαχώρησιν ἀλλὰ καὶ διὰ τοῦτο μέσον πώς ἐστι τῶς τοιούτων βρωμάτων ἡ ὕλη, διὰ τὸ μηδεμίαν αὐτοῖς ὑπάρχειν δριμύτητα ἢ νιτρώδη

---

3) *Καθαρά* interpretandum videtur, quibus nihil admistum est condimenti cuiuscumque generis, s. potius, quae sola per se sine aliis cibis adsumuntur.

4) Malim τούτοις οὖν γ. ὁ. ἐ. cf. Aëtium.

pterea temperata est horum eduliorum substantia quod nulla illis sit acrimonia nec nitrosi quid insit: verum etiam vinum dulce ad hoc valet.

Cap. XIII.

Quae alvum sistunt.

Palmulae austerae, uvae passae austerae, mora non matura, rubi et rubicanini fructus, magis myrti baccae, pruna, mala austera, dulcia vero et quae potius dulcia quam austera sunt alvum movent: dicuntur haec quoque epirodia et epapia. Lac, si quis illud coquat donec serum lactis dissipetur: astaci, paguri, cancri, locustae, si coquantur et ab humore, qui illis inest, liberentur, alvum sistunt, quod itidem

---

1) Exspectaveris fere *ἀλλὰ καὶ*, neque enim vinum dulce aut acre aut nitrosum adeo est, ut opponi possit iis quae has qualitates non habent. Aëtius: *οἶνος ὁ γλυκὺς συμβάλλεται τῇ κατὰ γαστέρα διεξόδῳ. γλεῦκος ὑπάγει.* Etiam hic igitur modicam tantum virtutem *ἐκκοπρωτικήν* vino dulci tribuit.

2) Du Cangius in Gloss. » *βάτζινα. Stirpis species, forte Ranunculum, cuius flores* Bacinets *nostri vocant — Anonymus* MS. de Diaeta: *συκάμινα, βάτζινα, κεδρόκοκα, καναβόκοκα φοινίκια.*" Unde locus quem citat, nescio: id autem scio *βάτζινα* vel *βάτζηνα* non esse ranunculum. Aëtius h. l. *βάτινα*, nec dubito quin haec noster *βάτζηνα* vocaverit. *Βάτινα* in suppl. notavit Du Cang. De *βάτῳ* Diosc. IV. 37. et Sprengel in comm. ad h. l. De scriptura *βάτινα*, *βάτια* cf. Casaub. ad Athen. p. 65. Suppl. ad Lex. Schn.

3) Cf. Du C. in *λαγίνιδιν*, ubi e Gl. Iatricis *κυνοκέφαλον* ita exponitur. Sed Hesychius *κυνοκεφάλαιον* exponit per

ποιότητα. [1] ἀλλ' ὁ γλυκὺς οἶνος ἐπιτηδείως ἔχει πρὸς τοῦτο.

Κεφ. ιγ'.

Ὅσα ἐπέχουσι τὴν γαςέρα.

Φοίνικες οἱ ςυφοὶ, ςαφίδες αἱ ςύφουσαι, συκάμινα τὰ ἄωρα, [2] βάτζηνα· ὁ δὲ τῆς [3] λαγίνιδος καρπὸς, πλέον τὰ μυρσιόκοκκα, προῦνα, μῆλα τὰ ςύφοντα, [4] τὰ δὲ γλυκέα καὶ τὰ γλυκύτερα ἢ δριμύτερα κινεῖ, ταῦτα καὶ ἐπιρούδιον καὶ ἐπάπιον λέγεται. τὸ γάλα ἐάν τις αὐτὸ ἑψήσῃ ὡς δαπανηθῆναι τὸ τυρόγαλα. οἱ ἀςακοὶ, παγούρια, καρκίνοι, καραβίδες, ἐὰν ἑψήσῃ τις αὐτὰ καὶ κενώσῃ τῶν ὑγρῶν αὐτῶν, κρατεῖ τὴν κοιλίαν, ὥσπερ

ἀνεμώνη: in Diosc. ad ψύλλιον adnotatur: οἱ δὲ κυνοκεφάλιον. Neutra planta huic loco convenit. Forte confusio locum obtinuit seqq. explicanda. Glossarii auctor similitudine nominum, ut videtur, deceptus κυνόσβατον volens scripsit κυνοκέφαλον. Κυνόσβατος scilicet h. l. spectari videtur: nam aptissime coniunguntur βάτζηνα ὅ τε (sic pro ὁ δὲ lego) τῆς λαγίνιδος καρπός i. e. βάτινα s. βατία, ὅ τε τῆς κυνοσβάτου καρπός. Iidem fructus coniunguntur a Gal. *de Alim. Fac.* II. 13. 14.

4) Locum describam, qualem in MS. reperi: τὰ δὲ γλυκέα καὶ τὰ γλυκύτερα δρυμὶτερα κυνοὶ τοῦτα καὶ ἐπιρούδιον καὶ ἐπάπιον λέγεται. Nomina ἐπιρούδιον et ἐπάπιον in Lexx. desiderantur. Haud ita certum mihi quid indicent. In Glossis Botan. MSS. ἐπίμηλον, μῆλον ἄγριον: itaque ἐπιρούδιον accipere possis de granatis sylvestribus; ῥούδιον apud Du Cang. in voce ῥόδιον ubi vide: similiter forte ἐπάπιον apium sylvestre; possunt etiam indicare mala in punicam et in pirum insita.

fit cum ostreis et omidiis similibusque: lens et crambe bis coctae, dein altera utra rursum in aliam aquam calidam iniecta et fortiter cocta donec emolliatur, eiusque iusculum alvum sistit, item oryza, melium, ova fricta, vinum austerum et fulvum.

Cap. XIV.

Quae mali succi sunt.

Cacochymiae non una est species: alia enim magis est pituitosa, alia magis biliosa, alia potius melancholica. Abstinendum autem ab omnibus alimentis, quae mali succi sint; quamvis enim facile digerantur tempore malum succum habent in venis collecta, dein a levi causa incipiens putredo febres malae indolis gignit. Mali succi autem sunt ista: ovium caro similiterque caprarum ita ut acerba sit simul, pessima hircorum, dein arietum, postea taurorum. Inter has omnes optima est, quae ab animalibus castratis proveniunt, vetustae autem longe deteriores iunioribus: leporina caro sanguinem facit crassiorem: succi bonitate praestant bubulae et ovillae: mali autem succi sunt quoque cervorum renes, mali itidem succi testi-

1) Quum in ceteris bona et mala ciborum genera fere alternis sibi subsequantur, cogitaveram de hoc capite post quintum inserendo, quorsum si etiam nunc aliquis translatum cupiat, non adversor; ego vero non feci, quod sex seqq. capita apte hocce praegreditur, ita ut haec itidem transferenda essent. — Neque arbitror multum facere ad res melius intelligendas, modo ne silentio hoc praetereamus.

καὶ ἐπὶ τῶν ὀςρουδίων καὶ ἐπὶ τῶν ὁμιδίων καὶ τῶν ὁμοίων· φακῆ καὶ ἡ κράμβη δεύτερον ἑψηθεῖσαι εἶτα ἐμβληθεῖσα θατέρα τούτων ἐν ἑτέρῳ θερμῷ καὶ ἰσχυρῶς ἑψηθεῖσα ἕως ἂν ἀπαλυνθῇ, καὶ ταύτης ὁ ζωμὸς ἐπέχει. ορίζιν, κεγχρὶς, τὰ ταγηνιςὰ ὠὰ, οἶνος ςυφὸς καὶ ξανθός.

Κεφ. ιδ'.

[1] Ὅσα κακόχυμα.

Τῆς κακοχυμίας οὐχ ἓν εἶδος· ἡ μὲν γὰρ φλεγματικωτέρα ὑπάρχει, ἡ δὲ χολωδεςέρα, ἄλλη μελαγχολικωτέρα. ἀπέχεσθαι δὲ χρὴ πάντων τῶν κακοχύμων ἐδεσμάτων, [2] κἂν εὔπεπτα γὰρ ὦσιν, εἶεν τῷ χρόνῳ κακόχυμα θησαυριζόμενα ἐν ταῖς φλεψὶν, ἐπειδὰν ἀφορμῆς ολίγης ἐπιλαβομένη ἡ σῆψις πυρετοὺς χαλεποὺς ἀπεργάζηται. εἰσὶ δὲ κακόχυμα τάδε· τῶν προβάτων ἡ σὰρξ καὶ τῶν αἰγῶν ὁμοίως μετὰ δριμύτητος, ἡ δὲ τῶν τράγων χειρίςη ἐφεξῆς καὶ τῶν κριῶν, εἶτα τῶν ταύρων· ἐν πᾶσι δὲ τούτοις ἡ τῶν εὐνουχισθέντων καλλίςη, τὰ δὲ παλαιὰ χείριςα τῶν νέων· τῶν λαγωῶν σὰρξ αἵματος μὲν ἐςι παχυτέρου γεννητική· βελτίονες δὲ εἰς εὐχυμίαν [3] βοὸς καὶ προβάτου· κακόχυμοι δὲ καὶ τῶν ἐλάφων οἱ νεφροί, κακόχυμοι καὶ οἱ ὄρχεις τῶν ἐπιπλέον ηὐξημέ-

---

2) MS. ευπεπταται υσὶν ειεν τω χρ. κ. θυσαυριζώμενα ε τες φλέψιν ἐπιδὰν ἀφορμοὶς ὁ λυγων ἐπιλ. ἡ σίψις. Etiamsi aliquatenus scripturam restitui, tamen nondum integra videtur; malis: κἂν γὰρ εὔπ. γε. ὦσιν, εἶεν ἂν τ. χρ. κ. τ. λ. tum vero pro ἐπειδὰν desideres ἔπειτα.

3) Aëtius ἢ κατὰ βοῦν καὶ πρόβατον.

culi animalium adultorum, gallis exceptis, et cerebrum quodvis et spinae medulla, et lien: hepar autem paulo peioris succi, deteriora vero omnia animalium viscera. Mali succi sunt ova fricta, casei vetusti, bulbi, amanitae, foenograecum, lens, tipha, avena, panicum, milium, et quae huius sunt generis bonum succum non habent. E piscibus autem gobiones, mustelae, scorpii, cernuae, muli qui cancerculis vescuntur, et magni e piscibus et omnes fructus horaei; ficus autem inter ceteros parum mali succi sunt, similiter etiam uvae mali succi, caricae copiose illas sumentibus, pira immatura, cinara, imprimis ubi circa coctionem obduruerunt, cucumeres, pepones, quibus praestat cucurbita, modo bene cocta sit. Nullum ex oleribus boni est succi: verum inter mali et boni succi intermedia sunt lactuca et intybum, ac dein malva, tum utriplex et portulaca et blitum et rumex: radices vero plantarum oleracearum quae acres sunt mali sunt succi: item cepae et porrum et allium et crambae caulis, dauci, rapa, bulbi non probe cocti: cepae vero et porrum et allium et ampeloprasum bis cocta malo succo liberantur: agrestia vero olera longe pessimi sunt succi, sicuti lactuca

---

1) MS. *κοβύα*. cap. 5. *λωβιοὶ* in *κωβιοί* mutavi: h. l. *κόβια* vel *κοβία* utrum reciperem nec ne dubitavi, deminitivum si voluisset, *κωβίδιον* vel *κοβίδιον* dedisset: hoc in Gloss. Du Cangius: — sed quum cap. 5. *γαλία*: pro vulgato *γαλέαι* dedisset, non licere mihi credidi *κοβία* reiicere.

2) Gal. *de Alim. Fac.* III. 27. in fine: *αἱ γοῦν τὰς καρκινάδας ἐσθίουσαι καὶ δυσώδεις εἰσὶ καὶ ἀηδεῖς, καὶ*

νων, πλὴν τῶν ἀλεκτρυόνων, καὶ πᾶς ἐγκέφαλος καὶ ὁ τῆς ῥάχεως μυελὸς καὶ ὁ σπλήν· τὸ δὲ ἧπαρ ὀλίγῳ κακοχυμότερον. χείρω δὲ πάντα τὰ σπλάγχνα τῶν ζώων. Κακόχυμα ὠὰ ταγηνιςὰ, τυροὶ παλαιοὶ, βολβοὶ, ἀμανῖται, τῆλη, φακῆ, τίφη, βρώμη, ἐλύμη, κέγχρος καὶ τὰ τοιαῦτα οὐκ εὔχυμα. τῶν δὲ ἰχθύων [1] κοβία, γαλέαι, σκορπίδια, ὄρφοι, [2] τρίγλαι, αἱ τὰς καρκινάδας ἐσθίουσαι, καὶ οἱ μεγάλοι τῶν ἰχθύων καὶ πάντα τὰ ὀπωρώδη. σῦκα δὲ ὀλίγα τῶν ἄλλων κακόχυμα, καὶ αἱ ςαφυλαὶ ὁμοίως κακόχυμοι, ἰσχάδες τοῖς αὐτῶν πλεονάζουσιν, ἄπια ἄωρα, κινάρα, καὶ μᾶλλον ὅταν περὶ τὴν ἕψησιν σκληρότερα γένηται, ἀγγούρια, πεπόνια, ἡ δὲ κολόκυνθα τούτων μέν ἐςι καλλίων ἐὰν καλῶς πεφθῇ. τῶν δὲ λαχάνων οὐδέν ἐςιν εὔχυμον. μέσον δὲ τῶν εὐχύμων καὶ κακοχύμων ἐςὶ τὸ μαιούλιον καὶ τὸ ἴντυβον καὶ μετὰ ταῦτα μαλάχη, εἶτα χρυσολάχανον, καὶ χοιροβότανον καὶ βλίτον καὶ λάπαθον. αἱ δὲ ῥίζαι τῶν λαχανωδῶν φυτῶν κακόχυμοί εἰσιν, ὅσαι δριμεῖαι. τὰ δὲ κρόμμυα καὶ πράσα καὶ σκόροδα καὶ [3] κραύλων ὁ καυλὸς, δαῦκοι, γογγύλοι, βολβοὶ οἱ μὴ ἑψηθέντες καλῶς. τὰ κρόμμυα δὲ καὶ τὰ πράσα καὶ τὰ σκόροδα καὶ ἀμπελόπρασα δὶς ἑψηθέντα ἀποτίθενται τὴν κακοχυμίαν. τὰ δ' ἄγρια λάχανα κακόχυμα ἐσχάτως εἰσὶν, οἷον ἀγριομαιούλιον,

---

δύσπεπτοι, καὶ κακόχυμοι. διάγνωσις δ' αὐτῶν, πρὶν μὲν ἐσθίειν ἀναπτύξαντι τὴν κοιλίαν, ἐσθίοντι δὲ κατὰ τὴν πρώτην εὐθέως ὀσμήν τε καὶ γεῦσιν. Cf. ibid. cap. 30. Aëtium II. 139. Sym. Seth. p. 125.

3) Vocabulum Lexicis ignotum, me iudice e κραμβῶν corruptum, ita ut κραυβῶν in κραυλῶν transierit. κράμβη, κραύβη infra obvium atque eiusdem generis ac σεπτέμβριος, σεπτεύβριος, δεκέμβριος, δεκεύβριος. cet.

sylvestris, sonchus, seris, hisque similia: et e vinis crassa, mali odoris, et austera.

Cap. XV.

Quae pituitam generant.

Partes animalium in quibus tendines, veluti pedes et pelles, cerebrum, pulmo, spinae medulla, agnina caro, amanitae, caro testaceorum animalium et piscium mollis carnis et mala immatura.

Cap. XVI.

Quae melancholicum humorem gignunt.

Carnes bubulae, caprinae, et magis etiam taurinae et hircinae et leporinae, quadrupedum caro sale condita: e marinis animantibus thunni, cochleae: ex oleribus crambae: arborum germina muria et acida muria condita. E leguminibus atram bilem gignit imprimis lenticula, dein panes furfuracei et qui ex tipha et milio et vicia parantur. E vinis crassa et nigra.

Cap. XVII.

Quae bilem gignunt.

Ceratia, cinara, mel, nisi quod hoc in calidis tantum corporibus in bilem convertatur, et vina dulcia.

---

1) Conf. *ζωχίν* et *ζώχινον* apud Du Cang. in Appendice.

2) Mirum in modum *ἀμανῖται* h. l. inseruntur: indicium forte locum mutilatum esse; malim ante *μῆλα* inserere.

3) MS. *ἁπλῶν σάρκων.* Non dubito quin vera lectio sit, quam exhibui, pro magis vulgato *μαλακοσάρκων.* v. c.

[1] ζωχία, πικρίδες καὶ τὰ ὅμοια τούτοις. καὶ τῶν οἴνων οἱ παχεῖς καὶ δυσώδεις καὶ αὐστηροί.

Κεφ. ιε'.

Ὅσα φλέγμα γεννᾷ.

Τῶν ζώων τὰ νευρώδη μόρια, ἤτοι πόδες καὶ τὰ δέρματα, ἐγκέφαλος, πνεύμων, ὁ μυελὸς τῆς ῥάχεως, ἡ τῶν ἀρνίων σάρξ, [2] ἀμανῖται, ἡ σὰρξ τῶν ὀστρακοδέρμων καὶ τῶν [3] ἁπαλοσάρκων καὶ μῆλα ἄωρα.

Κεφ. ις'.

Ὅσα μελαγχολικὸν γεννῶσι χυμόν.

Κρέα τὰ βόεια, αἴγεια καὶ μᾶλλον τὰ τῶν ταύρων καὶ τράγων καὶ λαγωῶν, τὰ [4] παστὰ κρέα τῶν τετραπόδων, τῶν δὲ θαλασσίων θύνναι, κοχλίαι, τῶν δὲ λαχάνων κράμβαι. τῶν δένδρων οἱ βλαστοὶ δι' ἅλμης καὶ ὀξάλμης συντιθέμενοι. τῶν ὀσπρίων μελαγχολικώτερός ἐστι ὁ φακὸς τῶν ἄλλων καὶ μετ' αὐτὸν οἱ πιτυρίαι τῶν ἄρτων καὶ οἱ ἐκ τῆς τύφης καὶ κέγχρου καὶ βίκου, τῶν δὲ οἴνων οἱ παχεῖς καὶ μέλανες.

Κεφ. ιζ'.

Ὅσα χολῆς γεννητικά.

Ξυλοκέρατα, κινάρα, τὸ μέλι, [5] πλὴν ἐκχολοῦται ἐπὶ τὰ θερμὰ σώματα, καὶ οἱ γλυκεῖς οἶνοι.

Gal. *de Alim. Fac.* III. 30. Φιλότιμος — περὶ τῶν μαλακοσάρκων ἰχθύων οὕτως ἔγραψεν.

4) Aëtius κρέα ταριχευθέντα τῶν τ. ζώων.

5) Cf. Gal. *de Rem. Simpl.* IV. 17.

Cap. XVIII.

Quae glutinosos humores generant.

Panes similaginei ipsaque similago, cartilaginosae animalium partes, aures, nares, et partes circa labia, caro porcina, agnina. Itidem bulbi et palmulae pingues, etiam virentes, et rapa et caro testaceorum animalium detracto multa coctione iusculo, et quae mollusca dicuntur, veluti octipodes, sepiae, calamaria, moschitae, alii pisces veluti thunni, lacerti, xiphiae. Animalium partes, ventriculus, intestina, uterus, lac ebutyratum, casei vetusti eadem frigidos etiam humores gignunt. Cyminum, levistici semen et radix, lini semen et cannabis, faba frixa, bulbi in oleo garoque cocti cum aceto comesta, inprimis oxymel despumatum, ita ut et flatus prorumpere faciat, panes hordeacei.

---

1) Conf. Du Cang. in voce in Gloss. et in App. ubi locus noster citatur.

2) De hoc vocabulo vide Du Cang. in *μήτη*. — et Schneid. in *μύτις*: » für Nase und *Atramentum Sepiae* findet es sich nirgends.'' cap. 5. *αἱ ῥῖνες καὶ τὰ ὦτα* a nostro coniunguntur. — Itaque h. l. saltem *nares* interpretor. In Indice capp. Ioannis Archiatri MS. cap. 8. *ὅπου ῥέῃ αἷμα ἀπὸ τὴν μίτην.*

3) In his MS. quam maxime potui sum secutus, licet locus integer esse non videatur. Cod: *καὶ τὰ περιτράχιλα τὰ χοιροίων κρέας τὸ χλοροῦ.* — Aëtius II. 241. *ἱκανῶς*

Κεφ. ιη'.

Ὅσα γλισχροὺς χυμοὺς γεννῶσι.

Οἱ σεμιδαλῖται ἄρτοι καὶ αὐτὴ ἡ σεμίδαλις, τὰ [1] τραγανὰ μόρια τῶν ζώων, αὐτῶν ὀςᾶ, ὠτία, [2] μύτις [3] καὶ τὰ περιτράχηλα τὰ χοιρίων, κρέας τὸ χοίρου, τὸ τῶν ἀρνίων. τοσισάκην οἱ βολβοὶ καὶ οἱ λιπαροὶ φοίνικες, οἱ χλωροὶ ὁμοίως καὶ οἱ γογγύλοι καὶ ἡ σάρξ τῶν ὀςρακοδέρμων ἀποβαλοῦσα τὸν ζωμὸν ἐκ τῆς πολλῆς ἑψήσεως, καὶ τὰ μαλάκια καλούμενα, οἷον ὀκταπόδια, σηπίαι, καλαμάρια, μοσχῖται, τὰ μὲν ἄλλα ὀψάρια ὥσπερ θύνναι, σαῦροι, ξιφίαι. τῶν ζώων τὰ μόρια, κοιλίαι, ἔντερα, μήτρα, ὀξύγαλα, τυροὶ οἱ παλαιοὶ, τὰ δ' αὐτὰ καὶ ψυχροὺς τίκτει χυμούς· κύμινον, λιβυςικοῦ σπέρμα καὶ ἡ ῥίζα· [4] λινόκομα· κανναβόσπερμα, φάβα φρυκτὸν, βολβοὶ ἑψηθέντες ἐν ἐλαίῳ καὶ γάρῳ μετ' ὄξους ἐσθιόμενα, μάλιςα ἀπαφρισθὲν ὀξύμελι, ὥστε καὶ τὰ πνεύματα καταῤῥήγνυσιν, ἄρτοι κρίθινοι.

γλίσχρα τένοντες καὶ ἀπονευρώσεις καὶ τὰ περὶ τὰ χείλη μόρια καὶ γλῶσσα. χοίρειον κρέας. καὶ ἡ τῶν ἀρνῶν σάρξ. — Unde emendandum existimo καὶ τὰ περὶ τὰ χείλη μόρια, κρέας τὸ χοίρειον s. τὸ χοίρου.

4) Λιγόκομα MS., quod Lexicis ignotum, corruptum videtur: in GAL. *de Simpl. Rem.* VII. 11. 16 et 17. sibi subsequuntur λιβυςικόν et λινόσπερμον. Hoc quidem spectari certum putavi. Nam primo quidem recentiores GALENUM fere imitantur, tum vero post λινόσπερμα apte rursum καννραβοσπέρματος fit mentio.

Cap. XIX.

Quae crudos humores faciunt.

Cicera, lupini, faseoli, ervilia, milium, fabae, palmulae virentes, lac, idque inprimis frigidum, bulbi crudiores: mel, idque coctum, vina dulcia simul et austera: ficus, et imprimis maturae et caricae brevi tempore ventrem flatu distendunt.

Cap. XX.

Quae viscosum humorem generant.

Panis fornace coctus, placentae vino subactae, liba, alia placentarum genera, lenticula, faseolorum siliquae, lupini, fabae, cetaceum piscium genus, sepiae, octipodes, ostrea, omidia, pectines, pinnae, buccinae, chamae (hiatulae?) ungues, anguillae, cochleae; cervinae carnes, caprinae, bubulae, leporinae, porcinae, iecur, renes, testes, cerebrum, mammae, linguae, lac multum coctum, ova elixa, magis assata indurata et magis etiam in sartagine frixa, castaneae, glandes, bulbi, rapa, terrae tubera, unedones, ficus maturiores, citri caro, cucumeres, pepones, mala matura, vina dulcia, magis autem sapa et mustus.

---

1) Cf. Aëtium II. 257. et 252. Nimirum apud nostrum caπερὶ τῶν ὅσα ὠμὸν χυμὸν γεννᾷ et περὶ τῶν φυσώδων fere coniunguntur.

Κεφ. ιθ'.

Ὅσα ὠμοὺς χυμοὺς γεννῶσιν.

Ἐρέβινθοι, λουπινάρια, φασιούλια, αὖχος, κέγχρος, κύαμοι, οἱ χλωροὶ φοίνικες· γάλα καὶ μάλιςα τὸ ψυχρὸν, βολβοὶ οἱ ὠμότεροι· μέλι, τὸ μὲν ἑψηθέν· τῶν οἴνων οἱ γλυκεῖς ἅμα καὶ οἱ αὐςηροί· [1] σῦκα· καὶ μάλιςα τῶν ὡρίμων καὶ ἰσχάδων ὀλιγοχρόνιος ἡ ἐμπνευμάτωσις.

Κεφ. κ'.

Ὅσα ἰξώδη χυμὸν γεννᾷ.

Οἱ κλιβανῖται ἄρτοι, αἱ μουςόπιται, ἰτρία, [2] τὰ πλακοῦντα, φακῆ, οἱ λοβοὶ τῶν φασουλίων, τὰ λουπινάρια, φάβα, οἱ κητώδεις τῶν ἰχθύων, σηπίαι, ὀκταπόδια, ὀςρούδια, ὀμίδια, κτένια, πίνναι, κηρύκια, χηβάδες, σωλῆνες, ἐγχέλυες, κοχλίαι, ἐλάφεια κρέα, αἴγεια, βόεια, λάγεια, χοίρεια, ἧπαρ, νεφροὶ, ὄρχεις, ἐγκέφαλος, μαςοὶ, γλῶσσαι, γάλα τὸ ἐπίπλεον ἑψηθὲν, τυροὶ πάντες, ὀξύγαλα, ὠὰ ἔκζεςα, μᾶλλον δὲ τὰ ὀπτὰ σκληρὰ γενόμενα, καὶ μᾶλλον ἔτι τὰ ταγηνιςὰ, κάςανα, βαλάνια, βολβοὶ, γογγύλαι, ὕδνα, κούμαρα, σῦκα τὰ ὡριμώτερα, κίτρου σάρξ, ἀγγούρια, πέπονες, μῆλα τὰ ὥριμα· τῶν οἴνων οἱ γλυκεῖς, μᾶλλον δὲ τὸ ἕψημα καὶ ὁ μοῦςος.

---

2) Cum hoc capite conf. 239 II. Aëtii. Transposui verba ἰτρὶν, φακῆ, τὰ πλακοῦντα, quae ita in cod. exhibentur.

Cap. XXI.

Quae multum nutriunt.

Porcinae carnes, bovis cerebrum, testes, cor, medulla spinae aliaque quaelibet: avium alae et anserum et volucrum omnium: duriora e testaceis veluti buccinae, cochleae, astaci, paguri, carides, octipodes, sepiae, calamaria idque genus alia: torpedo, pastinaca, raia, leviraia, squatina, muli: panes similaginei et purus e farina triticea, triticum coctum, similago, fabae, cicera, faseoli, ervilia, foenograecum, bulbi bis cocti: mel despumatum et aqua mulsa bene cocta: lupini, castaneae, lenticula, palmulae dulces, uvae passae dulces et pingues; glandes, rapa: crassa vina et rubra, magis quam haec nigra, dulcia et crassa, et austera.

Cap. XXII.

Quae parum nutriunt.

Animalium extremitates, uterus, ventriculus, intestina, cauda, aures, pinguedo: in universum totum avium genus minus nutrit quam quadrupedum, et vetustorum animalium, quam quae nondum adoleverunt. Alimentum e piscibus tenuissimum sanguinem gignit: e testaceis, quae teneram carnem habent, sicuti ostrea: panes hordeacei, panes furfuracei et confusanei, avena, milium, panicum, oryza, fabae virentes, mora, amygdalae, pistacia, corna, damasce-

Κεφ. κα'.

Ὅσα πολύτροφα.

Χοίρεια κρέα, βοῶν ἐγκέφαλος, ὄρχεις, καρδία, τῆς ῥάχεως ὁ μυελὸς καὶ ἄλλος πᾶς· τὰ πτερύγια τῶν ὀρνίθων, καὶ τῶν χηνῶν καὶ πάντων πετεινῶν· καὶ τῶν ὀστρακοδέρμων τὰ σκληρότερα, οἷον κηρύκια, κοχλίαι, ἀστακοὶ, παγούρια, καρίδια, ὀκταπόδια, σηπίαι, καλαμάρια καὶ τὰ τοιαῦτα· ναρκὴ, τρύγων, βάτοι, λειόβατοι, ῥῖναι, τρίγλαι· ὁ σεμιδαλίτης ἄρτος καὶ ὁ καθαρὸς ἀλευρίτης, σῖτος ἑψητὸς, σεμίδαλις, κύαμοι, ἐρέβινθοι, φασιούλια, αὖχος, τήλη, βολβοὶ δὶς ἑψηθέντες· μέλι τὸ ἀπαφρισθὲν καὶ εὐκρατόμελι καλῶς ἑψηθέν· λουπινάρια, κάστανα, φακῆ· γλυκεῖς φοίνικες, σαφίδες γλυκεῖς καὶ λιπαραί· βαλάνια, γογγύλια· οἱ παχεῖς τῶν οἴνων καὶ [1] ῥούσιοι, πλέον δὲ τούτων οἱ μέλανες, γλυκεῖς καὶ παχεῖς, καὶ στύφοντες.

Κεφ. κβ'.

Ὅσα ὀλιγότροφα.

Τὰ ἄκρα τῶν ζώων, μήτρα, κοιλία, ἔντερα, οὐρὰ, ὠτία, πιμελή· καθόλου πᾶν γένος τῶν ὀρνίθων ὀλιγοτροφώτερόν ἐστι τῶν τετραπόδων, καὶ τῶν γεγηρακότων ζώων ἤπερ τὰ ἔτι αὐξανόμενα. τῶν ἰχθύων ἡ τροφὴ αἵματός ἐστι γεννητικὴ λεπτοτάτου. τῶν ὀστρακοδέρμων τὰ μαλακόσαρκα οἷον τὰ ὄστρεα· ἄρτοι κρίθινοι, ἄρτοι πιτυρώδεις καὶ κυβαροὶ, βρώμη, κέγχρος, ἔλιμην, ὄρυζα, φάβα χλωρὸν, συκάμινα, ἀμυγδαλα, πιστάκια,

---

1) Aëtius ἐρυθροί, cf. Du Cang. in ῥουσαῖος, ῥουσσαῖος.

na, mala persica, rubi fructus, poma armeniaca, pruna, capparis, beta, rumex, oxylapathum, portulaca, raphanus, rapum, sinapi, nasturtium, asparagi, dauci, cepae, allium, porrum, ampeloprasum cruda nullum omnino corpori alimentum praebent, bis vero vel ter cocta pauxillum. Mala punica, pira, cucumis, uvae passae austerae, neque pingues: ficus autem plus alimenti habent, sed laxam faciunt carnem et humore redundantem, similiter uvae quoque: verum minus quam ficus nutriunt uvae.

Cap. XXIII.

Quae residuum digesta relinquunt.

Palumbes, anseres exceptis alis: viscera omnia, veluti iecur, lien, intestina, uterus, ventriculus, medulla spinae et capitis, aves in stagnis seu paludibus degentes; cicera, fabae virentes: parvuli porcelli, carnes ovium omniumque animalium vitam otio transigentium; e piscibus qui in fluviis et lacubus vivunt et in limo degunt, omniaque cetacea ex animalibus marinis.

---

1) *Κρανία* arbor apud GAL. *de Alim. Fac.* II. 38. et *de Simpl. Rem.* VII. 10. 47. — *κράνες* fructus *de Simpl. Rem.* I. 39. *τὰ κράνα de Simpl. Rem.* XI. 1. 31. et l. l. *de Alim. fac.* — Cf. SCHNEID. Lex. in *κράνεια.*

2) Cf. DU CANG. in voce.

3) MS. sic: *τὰ δὲ σύκα ἔχιτον πολυτροφώτερον. χαύνην. δὲ ποιῆ τὴν σάρκα καὶ σηνησμώδη ὅμοιος καὶ αἱ ϛαφυλαὶ. αἰλάττιων δὲ τῶν σίκων εϛαφυλαὶ τρέφουσιν.* Sed adpo–

[1] κράνα, δαμάσκηνα, ῥοδάκινα, [2] ματζάναι, βερίκοκκα, προῦνα, κάππαρις, σεῦτλον, λάπαθον, ὀξυλάπαθον, χοιροβότανον, ῥάφανον, γογγύλη, σίνηπι, κάρδαμον, ἀσπάραγοι, δαυκία· κρόμμυα, σκόροδα, πράσα, ἀμπελόπρασα ὠμὰ οὐδόλως τροφὴν δίδωσι τῷ σώματι, ἑψηθέντα δὲ δὶς ἢ τρὶς ὀλιγίστην, ῥόδια, ἄπια, κολόκυνθα, σταφίδες αἱ στύφουσαι καὶ μὴ λιπαραί· [3] τὰ δὲ σῦκα ἔχει τὸ πολυτροφώτερον, χαύνην δὲ ποιεῖ τὴν σάρκα καὶ σομφώδη· ὁμοίως καὶ αἱ σταφυλαί· ἔλαττον δὲ τῶν σύκων αἱ σταφυλαὶ τρέφουσιν.

Κεφ. κγ'.

Ὅσα περιττωματικά.

Φάσσαι, χῆνες πλὴν τῶν πτερύγων· σπλάγχνα πάντα· οἷον ἧπαρ, σπλὴν, ἔντερα, μήτρα, κοιλία, ὁ μυελὸς τῆς [4] ῥάχης καὶ ὁ τῆς κεφαλῆς· τὰ ἐν ταῖς λίμναις βοσκόμενα ὄρνεα· ἐρέβινθοι, κύαμοι χλωροί· τὰ μικρὰ χοιρίδια, τῶν προβάτων ἡ σὰρξ καὶ πάντων τῶν ζώων τῶν ἀργῶς βιούντων· τῶν ἰχθύων οἱ ποτάμιοι καὶ λιμναῖοι, καὶ οἱ ἐν βορβόρῳ διαιτώμενοι καὶ πάντα τὰ κητώδη τῶν ἐν θαλάσσῃ ζώων.

---

nenda Aëtii verba, quae cum his conveniunt, cf. finem cap. 249. II. σῦκα δὲ οὐχ ὁμοίως ταῖς ἄλλαις ὀπώραις ὀλιγότροφα, σομφώδη δὲ ποιεῖ τὴν σάρκα· σταφυλαὶ δὲ ἔλαττον τῶν σύκων τρέφουσι χαύνῃ καὶ πλαδαρᾷ σαρκί. His collatis mihi licere credidi σομφώδη pro σηνησμώδη legere.

4) Cf. Du Cang. in voce.

Cap. XXIV.

Quae attenuant.

